Athen. X, p. 429, C : Ἀριστοτέλης δ' ἐν τῷ περὶ Μέθης φησίν· « Εἰ ὁ οἶνος μετρίως ἀφεψηθείη, πινόμενος ἧττον μεθύσκει· τὴν γὰρ δύναμιν ἀφεψηθέντος αὐτοῦ ἀσθενεστέραν γίνεσθαι. Μεθύσκονται δὲ, φησὶν, οἱ γεραίτεροι τάχιστα, δι' ὀλιγότητα καὶ ἀσθένειαν τοῦ περὶ αὐτοὺς ἐνυπάρχοντος φύσει θερμοῦ. Καὶ οἱ παντελῶς δὲ νέοι τάχιον μεθύσκονται, διὰ τὸ πλῆθος τοῦ ἐνυπάρχοντος θερμοῦ· τῷ γὰρ ἐκ τοῦ οἴνου προσγινομένῳ κρατοῦνται ῥᾳδίως. Μεθύσκονται δὲ κἀν τοῖς ἀλόγοις ζῴοις ὕες μὲν σταφυλῆς στεμφύλων χορτασθέντες καὶ τὸ τῶν κοράκων καὶ τῶν κυνῶν γένος τὴν οἰνοῦτταν καλουμένην φαγόντα βοτάνην, πίθηκος δὲ καὶ ἐλέφας πιόντες οἶνον. Διὸ καὶ τὰς θήρας ποιοῦνται τῶν πιθήκων καὶ τῶν κοράκων μεθυσθέντων τῶν μὲν οἴνῳ, τῶν δὲ τῇ οἰνούττῃ. »

Ex eodem fonte ducta videntur quæ leguntur apud Ælianum Var. Hist. II, 40 : Πᾶν μὲν ὅσον ἄλογόν ἐστιν, ἀλλοτρίως πρὸς οἶνον πέφυκε, μάλιστα δὲ τῶν ζῴων ἐκεῖνα, ὅσα σταφυλῆς ἢ γιγάρτων ὑπερπλησθέντα μεθύει. Καὶ οἱ κόρακες δὲ τὴν καλουμένην οἰνοῦτταν βοτάνην ὅταν φάγωσι, καὶ οἱ κύνες δὲ καὶ αὐτοὶ βακχεύονται. Πίθηκος δὲ καὶ ἐλέφας, ἐὰν οἴνου πίωσιν, ὁ μὲν τῆς ἀλκῆς ἐπιλανθάνεται, ὁ δὲ τῆς πανουργίας, καί εἰσιν αἱρεθῆναι πάνυ ἀσθενεῖς. Cf. Plin. Hist. nat. XXIV, 17, 102 ; XXVI, 11, 69.

6. (99.)

Plutarch. Quæst. conv. III, 3 : Ἐθαύμαζε δὲ Φλῶρος, εἰ γεγραφὼς Ἀριστοτέλης ἐν τῷ περὶ Μέθης, ὅτι μάλιστα μὲν οἱ γέροντες, ἥκιστα δὲ αἱ γυναῖκες ἁλίσκονται, τὴν αἰτίαν οὐκ ἐξειργάσατο, μηδὲν εἰωθὼς προΐεσθαι τῶν τοιούτων.

Quæ Plutarchus postea adjecit, ubi ipse causam declarare conatur : Ἔστι δέ τι καὶ παρ' αὐτοῦ λαβεῖν Ἀριστοτέλους· τοὺς γὰρ ἄθρουν καὶ ἀπνευστὶ πίνοντας, ὅπερ ἀμυστίζειν ὠνόμασαν οἱ παλαιοὶ, φησὶν ἥκιστα περιπίπτειν μέθαις. Οὐ γὰρ ἐνδιατρίβειν τὸν ἄκρατον αὐτοῖς, ἀλλ' ἐξωθούμενον ῥύμῃ διαπορεύεσθαι διὰ τοῦ σώματος, etsi similia leguntur in Problem. III, 21, tamen non inde, sed ob verbum ἀμυστίζειν, cujus mentio sine dubio Aristoteli debetur, e libro περὶ Μέθης desumpta puto. Cf. Hesychius : Ἄμυστις· τὴν ἀπνευστὶ καὶ ἀθρόαν πόσιν Τίμαρχός φησιν οὕτως λέγεσθαι· et schol. Eurip. Rhesi, 419.

E Plutarcho, non ex ipso Aristotele, ut volebat Stahrius, *Aristoteles bei den Rœmern*,

---

4.

Aristoteles scribit, qui vino temulenti sint, hos in faciem pronos ferri ; qui vero zytho, in caput resupinari : vino enim caput gravari, zytho vero torporem afferri.

Ut dicit Aristoteles in libro de Ebrietate, in tergum recidunt, qui zythum biberunt, quod πῖνον vocant. Sic autem ille scribit : « Ceterum peculiare aliquid accidit circa vinum ex hordeo, quod πῖνον vocant. Nam qui ab aliis potionum inebriantium generibus inebriati sunt, in omnes partes prolabi possunt, cum ad dextram aut ad sinistram, tum et proni et supini ; at pino ebrii soli in posteriora et supini cadunt. »

5.

Aristoteles in libro de Ebrietate scribit : « Vinum si modice fuerit decoctum, minus inebriat bibentes, quum ipsa decoctione vis ejus debilitetur. Inebriantur autem, inquit, grandiores natu citissime, propter exiguitatem et debilitatem caloris qui illis natura inest. Qui vero admodum sunt juvenes, citius inebriantur, propter caloris qui illis inest abundantiam : nam eo calore, qui e vino illis accedit, facile vincuntur, eique succumbunt. Inebriantur vero etiam ex brutis animalibus sues, quum uvarum fracibus saginantur ; et corvorum, itemque canum genus, quum herba vescuntur quæ *œnussa* vocatur : simiæ vero atque elephas, quum vinum bibunt. Quare etiam venationes instituunt simiarum et corvorum, inebriando illas vino, hos vero *œnussa*. »

6.

Mirabatur Florus quod Aristoteles, quum, in libro de Ebrietate, dixisset creberrime senes, mulieres vero rarissime inebriari, causam hujus rei non indicavisset, nihil tale præterire solitus.

Quin etiam ex ipso Aristotele aliquid sumi potest. Nam eos ait, qui uno haustu absque respiratione magna siccant pocula quod ἀμυστίζειν dicunt veteres (*id est :* hiante ore bibere), non facile inebriari ; nimirum quod merum in his non diu moretur, sed impetu impulsum per corpus transeat.

p. 188, sua habet Macrobius Saturnal. VII, 6 : *Legisse apud philosophum græcum memini (ni fallor ille Aristoteles fuit, in libro quem de Ebrietate composuit), mulieres raro in ebrietatem cadere, crebro senes, nec causam vel hujus frequentiæ, vel illius raritatis adjecit. Et quia ad naturam corporum tota hæc quæstio pertinet, quam nosse et industriæ tuæ et professionis officium est, volo te causas rei quam ille sententiæ loco dixit, si tamen philosopho assentiris, aperire. — Tum ille : Recte et hoc Aristoteles, ut cetera, nec possum non assentiri viro, cujus inventis nec ipsa natura dissentit. Mulieres, inquit, raro ebriantur, crebro senes. Rationis plena gemina ista sententia et altera pendet ex altera. Nam quum didicerimus quid mulieres ab ebrietate defendat, jam tenemus quid senes ad hoc frequenter impellat : contrariam enim sortita naturam sunt muliebre corpus et senile.*

7. (100.)

Athen. X, p. 429, F : Τὸν δὲ Σαμαγόρειον οἶνον καλούμενόν φησιν ὁ Ἀριστοτέλης ἀπὸ τριῶν κοτυλῶν κεραςθεισῶν μεθύσκειν ὑπὲρ τεσσαράκοντα ἄνδρας. De hoc nomine nihil aliunde compertum ; ceterum in eo scribendo variant libri, ita cod. Laur. Σαμαγόνιον, lib. Casaub. Σαμαγόνειον, epit. Hœschelii σαμόγειρον.

8. (101.)

Athen. XI, p. 464, C : Καὶ Ἀριστοτέλης δὲ ἐν τῷ περὶ Μέθης, « Αἱ Ῥοδιακαί, φησί, προσαγορευόμεναι χυτρίδες διά τε τὴν ἡδονὴν εἰς τὰς μέθας παρεισφέρονται καὶ διὰ τὸ θερμαινομένας τὸν οἶνον ἧττον ποιεῖν μεθύσκειν· σμύρνης γὰρ καὶ σχοίνου καὶ τῶν τοιούτων ἑτέρων εἰς τὸ ὕδωρ ἐμβληθέντων ἕψονται, καὶ παραχεόντων εἰς τὸν οἶνον ἧττον μεθύσκουσιν. »

9. (102.)

Ibid. : Κἀν ἄλλῳ δὲ μέρει φησίν· « Αἱ Ῥοδιακαὶ χυτρίδες γίνονται σμύρνης, σχοίνου ἄνθους, κρόκου, βαλσάμου, ἀμώμου, κινναμώμου συνεψηθέντων· ἀφ' ὧν καὶ τὸ γινόμενον τῷ οἴνῳ παραχυθὲν οὕτω μέθας ἵστησιν, ὥστε καὶ τῶν ἀφροδισίων παραλύειν τὰ πνεύματα πέττον. » Idem XI, p. 496, F : Ῥοδίας... μνημονεύει δ' αὐτῶν (scil. τῶν ῥοδιακῶν)... καὶ Ἀριστοτέλης ἐν τῷ περὶ Μέθης. Cf. Hesych. s. v. Ῥοδιακόν.

ΜΑΓΙΚΟΣ.

Libri Μαγικὸς inscripti in Diogenis Laertii indice nulla fit mentio, licet apud ipsum in libro primo bis Ἀριστοτέλης ἐν τῷ Μαγικῷ citetur. Apud Anonymum tantum modo inter Ψευδεπίγραφα recensetur, cui quodammodo assentiri Suidas videtur s. v. Ἀντισθένης : Ἀθηναῖος... ὅστις Περιπατητικὸς ἐκλήθη πρῶτον, εἶτα ἐκύνισεν... οὗτος συνέγραψε τόμους δέκα, πρῶτον Μαγικόν... τοῦτο δέ τινες Ἀριστοτέλει, οἱ δὲ Ῥόδωνι (cod. A ῥόδων) ἀνατιθέασιν. In his quot verba tot pæne errores esse cuivis apertum : primum enim vix dubitari potest quin Περιπατητικὸς male pro Σωκρατικὸς scripserit Suidas, nisi cum Jonsio, *Scriptt. Hist. philosoph.* p. 46, credere malis eum, cum Antisthene vetere Socratico, juniorem quendam Peripateticum confudisse, cujus meminit Phlegon Trallianus Mirab. c. 3. Non magis autem verum est quod deinde affirmat, primum e decem tomis, in quos ab Alexandrinis sive Pergamenis grammaticis Antisthenis distributa erant scripta, Magicum appellatum fuisse, quum apud Diogenem Laert. VI, 15, nec primus nec alius quis ex his decem tomis talem titulum ferat : φέρονται δ' αὐτοῦ συγγράμματα τόμοι δέκα· πρῶτος ἐν ᾧ περὶ λέξεως ἢ περὶ χαρακτήρων etc. Restat illud nomen plane inauditum Ῥόδωνος, pro quo Bernhardyus Ῥοδίῳ scribendum esse statuit, ita ut de Antisthene quodam Rhodio cogitandum esset, cujus nomen e Demetrio Magnete affert Diogenes Laert. VI, 19 : Γεγόνασι καὶ ἄλλοι Ἀντισθένεις τρεῖς, Ἡρακλείτειος εἷς, ἕτερος Ἐφέσιος, καὶ Ῥόδιός τις ἱστορικός. Huic tamen Antistheni Rhodio talem librum tribui potuisse qualis Magicus fuit, vix credere poterit qui, quæ de eo narrat Poly-

---

7.

Samagoreum quod vocatur vinum, ait Aristoteles, tribus cotylis aqua temperatis, amplius quadraginta viros inebriare.

8.

Aristoteles in libro de Ebrietate ait : « Rhodiacæ quæ vocantur ollulæ, cum voluptatis causa in compotationes adhibentur, tum quod, quando calidæ sunt, efficiunt ut vinum minus inebriet. Nam myrrha et junco odorato et aliis talibus in aquam injectis decoquuntur ; quod decoctum si vino adfunditur, minus illud inebriat. »

9.

Et in alia ejusdem operis parte scribit : « Rhodiacæ ollulæ fiunt myrrha, squinantho (sive junco odorato), croco, balsamo, amomo, cinnamomo una decoctis : qua de potione nonnihil vino adfusum ita prohibet ebrietatem, ut etiam Veneris vim enervet, spiritus vitales cohibens. »

bius, ejus æqualis, legerit, Exc. l.[illegible]KVI, 14 (cf. C. Müller. Fragm. Hist. græc. t. III, p. 174 et 182, et Adolph. Müller, *de Antisthenis Cynici vita et scriptis*, Marb. 1860, p. 56), ubi hæc de Zenone et Antisthene Rhodiis : Καὶ γὰρ κατὰ τοὺς καιροὺς (temporibus scilicet quibus res gestæ sunt quas narrant) γεγόνασι, καὶ πατρίδι πεπολίτευνται, καὶ καθόλου πεποίηνται τὴν πραγματείαν οὐχ ὠφελείας χάριν, ἀλλὰ δόξης καὶ τοῦ καθήκοντος ἀνδράσι πολιτικοῖς. Non multum igitur, vereor, Bernhardyi conjectura juvamur, nisi forte sub Rhodio isto, non Antisthenem sed Aristotelem quendam Rhodium, de quo loquitur Proclus ad Platonis Timæum p. 27, A, latere putemus, quamquam et sic in errorem manifestum incidisse Suidam statuendum erit, quum ille Aristoteles multo junior fuisse videatur quam ipse Magicus. Quod ad Magicum attinet, dialogica forma conscriptum fuisse hunc librum, inde conjecit Rosius, quod Antistheni Socratico tribui potuerit. Satis probabilis esset conjectura si minus lubrico fundamento niteretur quam Suidæ auctoritati, ita vero illud tantum affirmari licet de Magis post Alexandri ætatem satis multos scripsisse, e quorum numero, ut Hermippum Peripateticum tolleret, non satis firmo argumento adductus est C. Müllerus, Fragm. Hist. gr. t. III, p. 36. Error autem quo factum est ut talis liber Aristoteli Stagiritæ tribueretur, inde fortasse ortus est quod in primo de Philosophia libro satis multa de Magis disseruisse videtur.

1. (103.)

Suidas s. Ἀντισθένης : Ἀθηναῖος... οὗτος συνέγραψε τόμους δέκα, πρῶτον Μαγικόν· ἀφηγεῖται δὲ περὶ Ζωροάστρου τινὸς μάγου, εὑρόντος τὴν σοφίαν. Τοῦτο δέ τινες Ἀριστοτέλει, οἱ δὲ Ῥοδίῳ ἀνατιθέασιν. Cf. quæ supra dicta sunt.

2. (104.)

Diog. Laert. I, 1 : Τὸ τῆς φιλοσοφίας ἔργον ἔνιοί φασιν ἀπὸ βαρβάρων ἄρξαι. Γεγενῆσθαι γὰρ παρὰ μὲν Πέρσαις Μάγους, παρὰ δὲ Βαβυλωνίοις ἢ Ἀσσυρίοις Χαλδαίους, καὶ Γυμνοσοφιστὰς παρ' Ἰνδοῖς, παρά τε Κελτοῖς καὶ Γαλάταις τοὺς καλουμένους Δρυΐδας καὶ Σεμνοθέους, καθά φησιν Ἀριστοτέλης ἐν τῷ Μαγικῷ καὶ Σωτίων ἐν τῷ εἰκοστ ῷ τρίτῳ τῆς Διαδοχῆς. Φοίνικά τε γενέσθαι Ὦχον καὶ Θρᾷκα Ζάμολξιν καὶ Λίβυν Ἄτλαντα.

3. (105.)

Diogen. Laert. I, 6 sqq.: Τοὺς δὲ Μάγους περί τε θεραπείας θεῶν διατρίβειν καὶ θυσίας καὶ εὐχάς, ὡς αὐτοὺς μόνους ἀκουομένους. Ἀποφαίνεσθαί τε περί τε οὐσίας θεῶν καὶ γενέσεως, οὓς καὶ πῦρ εἶναι καὶ γῆν καὶ ὕδωρ· τῶν δὲ ξοάνων καταγινώσκειν, καὶ μάλιστα τῶν λεγόντων ἄρρενας εἶναι θεοὺς καὶ θηλείας. Περί τε δικαιοσύνης λόγους ποιεῖσθαι, καὶ ἀνόσιον ἡγεῖσθαι πυρὶ θάπτειν, καὶ ὅσιον νομίζειν μητρὶ ἢ θυγατρὶ μίγνυσθαι, ὡς ἐν τῷ εἰκοστῷ τρίτῳ φησὶν ὁ Σωτίων· ἀσκεῖν τε μαντικὴν καὶ πρόρρησιν, καὶ θεοὺς αὐτοῖς ἐμφανίζεσθαι λέγοντας. Ἀλλὰ καὶ εἰδώλων πλήρη εἶναι τὸν ἀέρα, κατ' ἀπόρροιαν ὑπ' ἀναθυμιάσεως εἰσκρινομένων ταῖς ὄψεσι τῶν ὀξυδερκῶν· προκοσμήματά τε καὶ χρυσοφορίας ἀπαγορεύειν. Τούτων δὲ ἐσθὴς μὲν λευκή, στιβὰς δὲ εὐνή, καὶ λάχανον τροφὴ τυρός τε καὶ ἄρτος εὐτελής, καὶ κάλαμος ἡ βακτηρία, ᾧ κεντοῦντες, φασί, τοῦ τυροῦ ἀνῃροῦντο καὶ ἀπήσθιον. Τὴν δὲ γοητικὴν μαντείαν (μαγείαν Cob.) οὐδ' ἔγνωσαν, φησὶν ὁ Ἀριστοτέλης ἐν τῷ Μαγικῷ, καὶ Δείνων ἐν τῇ πέμπτῃ τῶν Ἱστοριῶν, ὃς καὶ μεθερμηνευόμενόν φησι τὸν Ζωροάστρην ἀστροθύτην εἶναι· φησὶ δὲ τοῦτο καὶ ὁ Ἑρμόδωρος.

MAGICUS.

1.

Antisthenes Atheniensis... Hic conscripsit tomos decem, primum autem Magicum, quo agit de Zoroastre Mago, qui sapientiæ inventor exstitit. Hoc vero opus quidam Aristoteli, alii vero Rhodio tribuunt.

2.

Philosophiæ munus nonnulli a barbaris initia sumpsisse autumant. Nam Persis Magos, Babyloniis vel Assyriis Chaldæos, Indis Gymnosophistas, Celtis seu Gallis Druidas et qui Semnothei appellabantur, ejus rei fuisse auctores ait Aristoteles in Magico et Sotion in vicesimo tertio Successionis libro. Phœnicem præterea fuisse Ochum, et Zamolxim Thracem et Atlantem Libycum.

3.

Magos deorum vacare cultui, et preces illis ac vota et sacrificia, quasi soli ab iis exaudiantur, offerre : de deorum natura et generatione disserere, quos et ignem et terram et aquam esse arbitrentur; signa statuasque reprehendere, et eorum inprimis qui mares esse deos ac feminas dicunt, errores improbare : de justitia verba facere, iniquumque arbitrari atque impium igni sepelire : justum matri ac filiæ misceri, ut in vicesimo tertio libro ait Sotion : divinationem præterea prædictionemque exercere, sibi deos apparere asserentes : plenum esse spectris aerem, quæ tenuiter veluti ex evaporatione acute cernentium oculis influant : exteriorem cultum atque auri usum interdicere. His autem vestis candida, lectus humus, esca olus, caseus panisque cibaria erant : arun-

Num in his, præter ea quæ diserte Aristotelis testimonio comprobantur et alia ex ejus libro fluxerint, ut Patritius credidit, non liquet.

ΠΕΡΙ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ.

I. ΠΕΡΙ ΠΥΘΑΓΟΡΕΙΩΝ.

Diligentissimum fuisse Aristotelem in exquirendis aliorum doctrinis cum superstites demonstrant libri, tum quæ in indicibus recensentur scripta satis multa, quorum illud erat propositum, ut antiquiorum philosophorum placita atque decreta sive solum exponerentur, sive etiam refellerentur. Cui generi adnumeranda sunt quæ exstant Excerpta de Xenophane, Melisso, Gorgia, nisi quod pro genuinis vix haberi possunt. Alterum genus repræsentat de Pythagoreis liber a multis allatus, nam etsi variis modis enuntietur titulus, omnia quæ ex Aristotele sive de ipsius Pythagoræ vita, sive de Pythagoreorum institutis afferuntur fragmenta, ad unum eundemque librum pertinere videntur. In titulo qualem exhibent Diogenes (101) et Anonymus (79) περὶ Πυθαγορείων α, illud tantum minus rectum videtur, quod non plures libri indicantur quum primus liber citetur apud Joannem Stobæum (fr. 10), secundus vero ab Alexandro Aphrodiseo (fr. 13) et Simplicio (fr. 17). Liber Πυθαγορικός vocatur a Theone (fr. 10), Πυθαγορικά a Simplicio (fr. 15), Συναγωγὴ τῶν Πυθαγορικῶν ab eodem (fr. 17) sive τῶν Πυθαγορείοις ἀρεσκόντων Συναγωγή (fr. 11), Πυθαγορικῶν δόξαι ab Alexandro (fr. 14), sive περὶ τῆς Πυθαγορικῶν δόξης (fr. 13), περὶ τῆς Πυθαγόρου vel περὶ τῆς Πυθαγορικῆς φιλοσοφίας a Joanne Stobæo et Iamblicho (fr. 12 et 13). Diversum ab eo librum recenset Diogenes (97), omisit autem Anonymus, πρὸς τοὺς Πυθαγορείους α'. Duo tituli in unum coaluisse videntur apud Dschemaluddinum (19): *De arte poetica secundum Pythagoram ejusque sectatorum placita libri*, quem errorem exscripsit quoque Hadschi Khalfa V, 104: *idem libros duos de arte poetica secundum disciplinam Pythagoræ scripsit.*

De quæstione num ipse Aristoteles Metaph. I, 5, 4, hunc de Pythagoreis librum innuerit, v. quæ infra ad fragm. 14 dicta sunt.

1. (106.)

Clemens Alexandr. Stromat. I, 14, 62, p. 129 Sylb.: Πυθαγόρας μὲν οὖν Μνησάρχου Σάμιος, ὥς φησιν Ἱππόβοτος, ὡς δὲ Ἀριστόξενος ἐν τῷ Πυθαγόρου βίῳ καὶ Ἀρίσταρχος καὶ Θεόπομπος Τυρρηνὸς ἦν, ὡς δὲ Νεάνθης Σύριος ἢ Τύριος.

Ex Clemente Theodoret. Græc. Affect. cur. I, p. 19 Gaisf. Pro Ἀρίσταρχος καὶ Θεόπομπος corrigendum hîc esse Ἀριστοτέλης καὶ Θεόφραστος conjecit Preller ad Polem. Perieg. Fragm. p. 59. Cf. Diog. Laert. VIII, 1: Πυθαγόρας... ὡς Ἀριστόξενος Τυρρηνὸς, ἀπὸ μιᾶς τῶν νήσων (Lemnus scil.), ἃς κατέσχον Ἀθηναῖοι Τυρρηνοὺς ἐκβαλόντες. Porphyr. Vit. Pyth. 2, Plut. Quæst. conviv. VIII 10, 1.

2. (107.)

Apollonius Mirab. c. 6 ed. Westerm.: Τούτοις δὲ ἐπιγενόμενος Πυθαγόρας, Μνησάρχου υἱὸς, τὸ μὲν πρῶτον διεπονεῖτο περὶ τὰ μαθήματα καὶ τοὺς ἀριθμοὺς, ὕστερον δὲ ποτε καὶ τῆς Φερεκύδου τερατοποιίας οὐκ ἀπέστη. Καὶ γὰρ ἐν Μεταποντίῳ πλοίου εἰσερχομένου φορτίον ἔχοντος (ita cum Rosio dedimus pro: καὶ γὰρ Μεταποντίῳ πλοίῳ εἰσερχομένῳ φορτίον ἔχοντι) καὶ τῶν παρατυχόντων εὐχομένων σωστὸν κατελθεῖν διὰ τὸν φόρτον, ἐφεστῶτα τοῦτον εἰπεῖν· « Νεκρὸν (ita Meurs. pro μικρόν. Cf. Iambl.

---

dine pro baculo utebantur, qua figentes, ut narratur, de caseo frusta tollebant et vescebantur. Magicarum illos præstigiarum ignaros ait Aristoteles in libro quem inscripsit Magicum et Dinon in quinto Historiarum libro, qui Zoroastrem quoque ex interpretatione nominis sui astrorum sacrificulum sonare asserit. Hoc etiam Hermodorus tradit.

DE PHILOSOPHORUM DOCTRINIS.

I. DE PYTHAGOREIS.

1.

Pythagoras Mnesarchi filius, Samius, ut ait Hippobotus; secundum Aristoxenum in libro de Vita Pythagoræ et Aristarchum et Theopompum (*Aristotelem et Theophrastum*) Tyrrhenus fuit, ut vero Neanthes, Syrius vel Tyrius.

2.

Subsecutus hos (*Epimenidem scil. et alios*) Pythagoras, Mnesarchi filius, principio mathematibus et numeris animum intendit. Postea vero Pherecydis etiam præstigiis non abstinuit. Nam Metaponti nave adveniente mercibus onusta, et iis qui aderant optantibus ut salva portum intraret propter merces, adstans ipse: « Ergo, inquit, mortuum vobis apparebit corpus, hanc ducens navem. » Rursum in Caulonia, ut ait Aristoteles, scribens de eo etiam multa alia, in Etruria serpentem qui morsu neca-

V. Pyth. 142, Porphyr. V. Pyth. 28) τοίνυν φανήσεται ὑμῖν σῶμα ἄγον τὸ πλοῖον τοῦτο.» Πάλιν δὲ ἐν Καυλωνίᾳ, ὥς φησιν Ἀριστοτέλης γράφων περὶ αὐτοῦ πολλὰ μὲν καὶ ἄλλα λέγει καὶ τὸν ἐν Τυρρηνίᾳ, φησί, δάκνοντα θανάσιμον ὄφιν αὐτὸς δάκνων ἀπέκτεινεν. Καὶ τὴν γενομένην δὲ στάσιν τοῖς Πυθαγορείοις προειπεῖν· διὸ καὶ εἰς Μεταπόντιον ἀπῆρεν ὑπὸ μηδενὸς θεωρηθείς. Καὶ ὑπὸ τοῦ Κόσα τοῦ ποταμοῦ (ita Rosius pro vulg. ὑπὸ τοῦ κατὰ Σάμον ποταμοῦ) διαβαίνων σὺν ἄλλοις ἤκουσε φωνὴν μεγάλην [καὶ] ὑπὲρ ἄνθρωπον· «Πυθαγόρα, χαῖρε·» τοὺς δὲ παρόντας περιδεεῖς γενέσθαι. Ἐφάνη δέ ποτε καὶ ἐν Κρότωνι καὶ ἐν Μεταποντίῳ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ. Ἐν θεάτρῳ δὲ καθήμενός ποτε ἐξανίσταται, ὥς φησιν Ἀριστοτέλης, καὶ τὸν ἴδιον μηρὸν παρέφηνε τοῖς καθημένοις (conj. παρακαθημένοις Ros.) χρυσοῦν. Λέγεται δὲ περὶ αὐτοῦ καὶ ἄλλα τινὰ παράδοξα, ἡμεῖς δὲ μὴ βουλόμενοι μεταγραφέων ἔργον ποιεῖν, αὐτοῦ τὸν λόγον καταπαύσομεν.

Ælianus Var. Hist. II, 26 : Ἀριστοτέλης λέγει ὑπὸ τῶν Κροτωνιατῶν τὸν Πυθαγόραν Ἀπόλλωνα Ὑπερβόρειον προσαγορεύεσθαι· κἀκεῖνα δὲ προσεπιλέγει ὁ τοῦ Νικομάχου ὅτι τῆς αὐτῆς ἡμέρας ποτὲ καὶ κατὰ τὴν αὐτὴν ὥραν καὶ ἐν Μεταποντίῳ ὤφθη ὑπὸ πολλῶν καὶ ἐν Κρότωνι ** τῷ ἀγῶνι ἐξανιστάμενος, ἔνθα καὶ τῶν μηρῶν ὁ Πυθαγόρας παρέφηνε τὸν ἕτερον χρυσοῦν. Λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι ὑπὸ τοῦ Κόσα ποταμοῦ διαβαίνων προσερρήθη· καὶ πολλούς φησιν ἀκηκοέναι τὴν πρόσρησιν ταύτην.

Conjungendus est cum hoc loco alter apud eundem Ælianum Var. Hist. IV, 17 : Ἐδίδασκε Πυθαγόρας τοὺς ἀνθρώπους ὅτι κρειττόνων γεγένηται σπερμάτων ἢ κατὰ τὴν φύσιν τὴν θνητήν· τῆς γὰρ αὐτῆς ἡμέρας ὤφθη καὶ κατὰ τὴν αὐτὴν ὥραν ἐν Μεταποντίῳ φησὶ (ita Perizonius, supplend. est Ἀριστοτέλης, aut cum Herchero scrib. φασὶ), καὶ ἐν Κρότωνι. Καὶ ἐν Ὀλυμπίᾳ δὲ παρέφηνε χρυσοῦν τὸν ἕτερον τῶν μηρῶν. Καὶ Μυλλίαν δὲ τὸν Κροτωνιάτην ὑπέμνησεν ὅτι Μίδας ὁ Γορδίου ἐστὶν ὁ Φρύξ, καὶ τὸν ἀετὸν δὲ τὸν λευκὸν κατέψησεν ὑπομείναντα αὐτόν. Ἀλλὰ καὶ ὑπὸ τοῦ Κόσα ποταμοῦ διαβαίνων προσερρήθη, τοῦ ποταμοῦ εἰπόντος αὐτῷ· «Χαῖρε, Πυθαγόρα.» Cf. Diog. Laert. VIII, 11 : Καὶ γὰρ καὶ σεμνοπρεπέστατος λέγεται γενέσθαι (ὁ Πυθαγόρας scil.) καὶ οἱ μαθηταὶ δόξαν εἶχον περὶ αὐτοῦ ὡς εἴη Ἀπόλλων ἐξ Ὑπερβορέων ἀφιγμένος. Λόγος δέ ποτ' αὐτοῦ παραγυμνωθέντος τὸν μηρὸν ὀφθῆναι χρυσοῦν· καὶ ὅτι Νέσσος (Κόσας) ὁ ποταμὸς διαβαίνοντα αὐτὸν προσαγορεύσαι πολὺς ἦν ὁ φάσκων. Iambl. de Vita Pyth. c. 28, 140 : Τὴν δὲ πίστιν τῶν παρ' αὐτοῖς ὑπολήψεων ἡγοῦνται εἶναι ταύτην, ὅτι ἦν ὁ πρῶτος εἰπὼν αὐτό, οὐχ ὁ τυχών, ἀλλ' ὁ θεός. Καὶ ἓν τοῦτο τῶν ἀκουσμάτων ἐστί, τίς ὁ Πυθαγόρας; Φασὶ γὰρ εἶναι Ἀπόλλω Ὑπερβόρεον. Τούτου δὲ τεκμήρια ἔχεσθαι ὅτι ἐν τῷ ἀγῶνι ἐξανιστάμενος τὸν μηρὸν παρέφηνε χρυσοῦν, καὶ ὅτι Ἄβαριν τὸν Ὑπερβόρεον εἱστία καὶ τὸν διστὸν αὐτοῦ ἀφείλετο ᾧ ἐκυβερνᾶτο. Λέγεται δὲ ὁ Ἄβαρις ἐλθεῖν ἐξ Ὑπερβορέων ἀγείρων χρυσὸν εἰς τὸν νεὼν καὶ προλέγων λοιμόν. Κατέλυε δὲ ἐν τοῖς ἱεροῖς καὶ οὔτε πίνων οὔτε ἐσθίων ὤφθη ποτὲ οὐθέν. Λέγεται δὲ καὶ ἐν Λακεδαιμονίοις θῦσαι τὰ κωλυτήρια καὶ διὰ τοῦτο οὐδένα πώποτε ὕστερον ἐν Λακεδαίμονι λοιμὸν γενέσθαι. Τοῦτον οὖν τὸν Ἄβαριν παρελόμενος ὃν εἶχε χρυσοῦν οἰστόν, οὗ ἄνευ οὐχ οἷός τ' ἦν τὰς ὁδοὺς ἐξευρίσκειν, ὁμολογοῦντα ἐποίησε. Καὶ ἐν Μεταποντίῳ εὐξαμένων τινῶν γενέσθαι αὐτοῖς τὰ ἐν τῷ προσπλέοντι πλοίῳ· «Νεκρὸς τοίνυν ἂν ὑμῖν,» ἔφη, καὶ ἐφάνη νεκρὸν ἄγον τὸ πλοῖον. Καὶ ἐν Συβάρει τὸν ὄφιν τὸν ἀποκτείνοντα τὸν δασὺν ἔλαβε καὶ ἀπεπέμψατο. Ὁμοίως δὲ καὶ τὸν ἐν Τυρρηνίᾳ τὸν μικρὸν ὄφιν αὐτὸς (ita Rosius pro ὃς) ἀπέκτεινε δάκνων. Ἐν Κρότωνι δὲ τὸν ἀετὸν τὸν λευκὸν κατέψησεν ὑπομείναντα, ὥς φασι. Βουλομένου δέ τινος ἀκούειν οὐκ ἔφη πω λέξειν πρὶν ἢ σημεῖόν τι φανῇ· καὶ μετὰ ταῦτα ἐγένετο ἐν Καυλωνίᾳ ἡ λευκὴ ἄρκτος. Καὶ πρὸς τὸν μέλλοντα ἐξαγγέλλειν αὐτῷ τούτου τὸν θάνατον προεῖπεν αὐτός. Καὶ Μυλλίαν τὸν Κροτωνιάτην ἀνέμνησεν ὅτι ἦν Μίδας ὁ Γορδίου· καὶ ᾤχετο ὁ Μυλλίας εἰς τὴν ἤπειρον ποιήσων ὅσα ἐπὶ τῷ τάφῳ ἐκέλευσε. Λέγεται δὲ καὶ ὅτι τὴν οἰκίαν αὐτοῦ ὁ πριάμενος καὶ ἀνορύξας ἃ μὲν

---

bat iste mordens interfecit. Seditionem etiam orientem suis indicavit discipulis : ideoque Metapontum transiit, a nemine visus. Et flumen Cosam transiens, vocem magnam, humana ampliorem audiit, quæ diceret : « Salve Pythagora », unde summus comitibus incidit pavor. Visus est aliquando Crotone et Metaponti eadem die atque hora. Aliquando in theatro sedens, ut Aristoteles refert, surrexit et assidentibus ostendit femur suum aureum. Feruntur de eo etiam alia mirabilia. Nos autem nolentes transcriptorum munere fungi, hic finem facimus.

Aristoteles dicit a Crotoniatis Pythagoram Apollinem Hyperboreum cognominari. Sed et hæc addit Nicomachi filius, aliquando eodem die atque hora visum illum esse a multis et Metaponti et Crotone... (*lacuna ex Apollonio supplenda est*) ludis surgens, ubi etiam alterum Pythagoras femur ostendit aureum. Dicit idem ille, Pythagoram quum Cosam fluvium transiret appellatum esse, multosque hanc appellationem audiisse.

Pythagoras homines docebat, se præstantiori semine natum, quam mortalis est natura. Nam eadem die et eadem hora visus fuit Metaponti, ut ait (*Aristoteles*), et Crotone. Sed et Olympiæ alterum femur aureum ostendit. Mylliam vero Crotoniaten admonuit, esse eum Midam, filium Gordii, Phrygem. Aquilam quoque albam, quæ se ei submittebat, contrectavit. Transiens etiam fluvium Cosam ab eo appellatus est, dicente : Salve Pythagora.

εἶδεν οὐδενὶ ἐτόλμησεν εἰπεῖν, ἀντὶ δὲ τῆς ἁμαρτίας ταύτης ἐν Κρότωνι ἱεροσυλῶν ἐλήφθη καὶ ἀπέθανε· τὸ γὰρ γένειον ἀποπεσὸν τοῦ ἀγάλματος τὸ χρυσοῦν ἐφωράθη λαβών. Ταῦτα δὲ οὖν λέγουσι πρὸς πίστιν καὶ ἄλλα τοιαῦτα. Similia habent quoque Porphyrius Vit. Pythag. c. 27, 28, Plutarch. Vit. Numæ c. 8, Diog. Laert. VIII, 15.

3. (108.)

Iamblich. de vita Pythag. c. 6 § 31 : Ἱστορεῖ δὲ καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ τῆς Πυθαγορικῆς φιλοσοφίας, διαίρεσίν τινα τοιάνδε ὑπὸ τῶν ἀνδρῶν ἐν τοῖς πάνυ ἀπορρήτοις διαφυλάττεσθαι· τοῦ λογικοῦ ζῴου τὸ μέν ἐστι θεός, τὸ δ' ἄνθρωπος, τὸ δὲ οἷον Πυθαγόρας. Cf. Iamblich. c. 28 § 144 : Ἔστι γὰρ παρ' αὐτοῖς λεγόμενον ὅτι « ἄνθρωπος δίπος ἐστὶ καὶ ὄρνις καὶ τρίτον ἄλλο »· τὸ γὰρ τρίτον Πυθαγόρας ἐστί.

4. (109.)

Apulejus de Deo Socratis c. 20 : *Credo vestrûm plerosque hoc quod modo dixi cunctantius credere et impendio mirari formam dæmonis Socrati visam. At hoc seculo oppido mirari solitos Pythagoricos, si quis se negaret unquam vidisse dæmonem, satis ut reor idoneus auctor est Aristoteles.* Ita Rosius e cod. Harleiano. In editione Hildebr.: *Etenim secundum Pythagoricos mirari solitos oppido.*

5. (110.)

Plutarch. apud Gellium IV, 11 : *Plutarchus quoque, homo in disciplinis gravi auctoritate, in primo librorum quos de Homero composuit,* ARISTOTELEM *philosophum scripsit eadem ipsa de Pythagoricis scripsisse, quod non abstinuerunt edendis animalibus nisi pauca carne quadam. Verba ipsa Plutarchi, quoniam res inopinata est, subscripsi :* « Ἀριστοτέλης δὲ μήτρας καὶ καρδίας καὶ ἀκαλήφης καὶ τοιούτων ἀπέχεσθαί φησι τοὺς Πυθαγορικούς, χρῆσθαι δὲ τοῖς ἄλλοις.» Ἀκαλήφη *autem est animal marinum quod urtica appellatur. Sed et piscibus nonnullis abstinere Pythagoricos Plutarchus in Symposiacis dicit* (VIII, 8, 1 : Μάλιστα τῶν ἰχθύων ἀπείχοντο· καὶ γὰρ ἱστορεῖται τοῦτο περὶ τῶν παλαιῶν Πυθαγορικῶν).

Porphyr. Vit. Pythag. c. 45 : Ἀπέχεσθαι δὲ καὶ ἄλλων παρῄνει, οἷον μήτρας τε καὶ τριγλίδος καὶ ἀκαλήφης, σχεδὸν δὲ καὶ τῶν ἄλλων θαλασσίων ξυμπάντων. Cf. Iambl. de Pyth. v. 21, § 98.

Diogen. Laert. VIII, 19 : Παντὸς δὲ μᾶλλον ἀπηγόρευε μήτ' ἐρυθῖνον ἐσθίειν μήτε μελάνουρον· καρδίας τ' ἀπέχεσθαι καὶ κυάμων. Ἀριστοτέλης δέ φησι καὶ μήτρας καὶ τρίγλης ἐνίοτε.

6. (111.)

Diog. Laert. VIII, 33 ss.: Τιμὰς θεοῖς δεῖν νομίζειν καὶ ἥρωσι μὴ τὰς ἴσας, ἀλλὰ θεοῖς ἀεὶ μετ' εὐφημίας λευχειμονοῦντας καὶ ἁγνεύοντας, ἥρωσι δ' ἀπὸ μέσου ἡμέρας. Τὴν δ' ἁγνείαν εἶναι διὰ καθαρμῶν καὶ λουτρῶν καὶ περιρραντηρίων καὶ διὰ τοῦ καθαρεύειν ἀπό τε κήδους καὶ λεχοῦς καὶ μιάσματος παντὸς καὶ ἀπέχεσθαι βρωτῶν θνησειδίων τε κρεῶν καὶ τριγλῶν καὶ μελανούρων καὶ ᾠῶν καὶ τῶν ᾠοτόκων ζῴων καὶ κυάμων καὶ τῶν ἄλλων ὧν παρακελεύονται καὶ οἱ τὰς τελετὰς ἐν τοῖς ἱεροῖς ἐπιτελοῦντες. Φησὶ δ' Ἀριστοτέλης περὶ τῶν κυάμων παραγγέλλειν αὐτὸν ἀπέχεσθαι τῶν κυάμων, ἤτοι ὅτι αἰδοίοις εἰσὶν ὅμοιοι ἢ ὅτι Ἅδου πύλαις· ἀγόνατον γὰρ μόνον· ἢ ὅτι φθείρει ἢ ὅτι τῇ τοῦ ὅλου φύσει ὅμοιον ἢ ὅτι ὀλιγαρχικόν· κληροῦνται γοῦν αὐτοῖς· τὰ δὲ πεσόντ' ἀπὸ τραπέζης μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν ἢ ὅτι ἐπὶ τελευτῇ τινός... ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκοῦ, ὅτι ἱερὸς τοῦ Μηνὸς καὶ ἱκέτης· τὸ δ' ἦν τῶν ἀγαθῶν· τῷ τε Μηνὶ ἱερός· σημαίνει γὰρ τὰς ὥρας. Τῶν ἰχθύων μὴ ἅπτεσθαι

3.

Tradit vero etiam Aristoteles in libris de Pythagorica philosophia, hujuscemodi divisionem a viris illis inter præcipua arcana servari : animalium ratione præditorum aliud est deus, aliud homo, aliud quale Pythagoras.

5.

Aristoteles a vulva, corde et urtica marina atque id genus quibusdam abstinere dicit Pythagoricos, uti vero aliis.

Super omnia autem erythino et melanuro vesci vetabat, corde itidem ac fabis : addit Aristoteles et vulva et mullo interdum.

6.

Honores diis exhibendos et heroibus non æquales, sed diis quidem semper et cum laudibus amictuque candido et casto corpore honores adhibendos, heroibus vero a meridie. Puritatem vero expiationibus lavacrisque atque aspersionibus fieri, vacando a funere et puerpera et inquinamento omni, item abstinendo ab arrosis morticinisque carnibus triglisque ac melanuris ovisque et quæ ova pariunt animalibus, fabis quoque et ceteris quæ monent quoque qui in templis mysteria ritusque consummant. Ait autem Aristoteles de fabis ideo admonuisse illum fabis abstinendum, sive quod pudendis similes sint, sive quod Orci januis : sunt enim solæ non geniculatæ : sive quod corrumpant, sive quod naturæ universi similes sint, sive quod ad paucorum dominatum pertinent : his quippe in sortiendo utantur. Quæ vero de mensa ceciderint non

ὅσοι ἱεροί· μὴ γὰρ δεῖν τὰ αὐτὰ τετάχθαι θεοῖς καὶ ἀνθρώποις, ὥσπερ οὐδ' ἐλευθέροις καὶ δούλοις. Καὶ τὸ μὲν λευκὸν τῆς τἀγαθοῦ φύσεως, τὸ δὲ μέλαν τοῦ κακοῦ. Ἄρτον μὴ καταγνύειν, ὅτι ἐφ' ἕνα οἱ πάλαι τῶν φίλων ἐφοίτων, καθάπερ ἔτι καὶ νῦν οἱ βάρβαροι· μηδὲ διαιρεῖν ὃς συνάγει αὐτούς· οἱ δὲ πρὸς τὴν ἐν Ἅδου κρίσιν, οἱ δ' εἰς πόλεμον δειλίαν ποιεῖν, οἱ δὲ ἐπεὶ ἀπὸ τούτου ἄρχεται τὸ ὅλον. Καὶ τῶν σχημάτων τὸ κάλλιστον σφαῖραν εἶναι τῶν στερεῶν, τῶν δ' ἐπιπέδων κύκλον. Γῆρας καὶ πᾶν τὸ μειούμενον ὅμοιον· καὶ αὔξην καὶ νεότητα ταὐτόν. Ὑγίειαν τὴν τοῦ εἴδους διαμονήν, νόσον τὴν τούτου φθοράν. Περὶ τῶν ἁλῶν, ὅτι δεῖ παρατίθεσθαι πρὸς ὑπόμνησιν τοῦ δικαίου· οἱ γὰρ ἅλες πᾶν σώζουσιν ὅ τι ἂν παραλάβωσι καὶ γεγόνασιν ἐκ τῶν καθαρωτάτων ἡλίου καὶ θαλάσσης.

Καὶ ταῦτα μέν φησιν ὁ Ἀλέξανδρος ἐν τοῖς Πυθαγορικοῖς ὑπομνήμασιν εὑρηκέναι καὶ τὰ ἐκείνων ἐχόμενα ὁ Ἀριστοτέλης.

Ἀριστοτέλης ἐν τῷ περὶ κυάμων ut olim legebatur, e cod. Laur. correxerunt Cobetus et Rosius, ut jam nullus sit ita inscriptus Aristotelis liber.

Ex his multa apud alios iisdem pæne verbis leguntur : ita apud Ælian. Var. Hist. IV, 17 extr.: Προσέταττε δὲ ὁ αὐτὸς Πυθαγόρας καρδίας ἀπέχεσθαι καὶ ἀλεκτρυόνος λευκοῦ καὶ τῶν θνησειδίων παντὸς μᾶλλον καὶ μὴ χρῆσθαι βαλανείῳ, μηδὲ βαδίζειν τὰς λεωφόρους· ἄδηλον γὰρ εἰ καθαρεύουσι κατ' αὐτὰ ἐκεῖνα. De ovis cf. Plutarch. Quæst. conviv. II, 3, 1; de fabis Lucian. Vitt. auct. c. 6, Porphyr. de vit. Pyth. 44.

7 (112.)

Porphyrii Vit. Pyth. 41 : Ἔλεγε δὲ (ὁ Πυθαγόρας scil.) τινὰ καὶ μυστικῷ τρόπῳ συμβολικῶς, ἃ δὴ ἐπιπλέον Ἀριστοτέλης ἀνέγραψεν· οἷον ὅτι τὴν θάλατταν μὲν ἐκάλει εἶναι [Κρόνου] δάκρυον· τὰς δὲ ἄρκτους Ῥέας χεῖρας· τὴν δὲ Πλειάδα Μουσῶν λύραν· τοὺς δὲ πλανήτας κύνας τῆς Περσεφόνης· τὸν δ' ἐκ χαλκοῦ κρουομένου γινόμενον ἦχον, φωνήν εἶναί τινος τῶν δαιμόνων ἐναπειλημμένην τῷ χαλκῷ.

Κρόνου quod in Porphyrii editionibus deest, præbent Clem. Alexandr. Stromat. V, 8, 51 : Τοιαῦτα καὶ οἱ Πυθαγόρειοι ᾐνίσσοντο, Φερσεφόνης μὲν κύνας τοὺς πλανήτας, Κρόνου δὲ δάκρυον τὴν θάλασσαν ἀλληγοροῦντες. Plutarch. de Isid. c. 32 : Τὸ ὑπὸ τῶν Πυθαγορικῶν λεγόμενον ὡς ἡ θάλαττα Κρόνου δάκρυόν ἐστιν. Similia ænigmata apud Ælianum Var. Hist. IV, 17 : Καὶ τὸν σεισμὸν ἐγενεαλόγει οὐδὲν ἄλλο εἶναι ἢ σύνοδον τῶν τεθνεώτων. Ἡ δὲ ἶρις ἔφασκεν ὡς αὐγὴ τοῦ ἡλίου ἐστὶ, καὶ ὁ πολλάκις ἐμπίπτων τοῖς ὠσὶν ἦχος φωνὴ τῶν κρειττόνων. Nonnullorum ipse Aristoteles in superstitibus meminit libris, ita Analyt. post. II, 10 § 8, de Cælo II, 9 § 3, Meteorol. I, 8 § 2, de Anima I, 2 § 4; cf. Lobeck. *Aglaopham*. p. 885 sqq.

8. (113.)

Porphyrius l. l. ita pergit § 42 : Ἦν δὲ καὶ ἄλλο εἶδος τῶν συμβόλων τοιοῦτον· ζυγὸν μὴ ὑπερβαίνειν, τουτέστι μὴ πλεονεκτεῖν. Μὴ τὸ πῦρ τῇ μαχαίρᾳ σκαλεύειν, ὅπερ ἦν μὴ τὸν ἀνοιδοῦντα καὶ ὀργιζόμενον κινεῖν λόγοις παρατεθηγμένοις. Στέφανόν τε μὴ τίλλειν, τουτέστι τοὺς νόμους μὴ λυμαίνεσθαι· στέφανοι γὰρ πόλεων οὗτοι. Πάλιν δ' αὖ ἕτερα τοιαῦτα· μὴ καρδίαν ἐσθίειν, οἷον μὴ λυπεῖν ἑαυτὸν ἀνίαις. Μηδ' ἐπὶ χοίνικος καθέζεσθαι, οἷον μὴ ἀργὸν ζῆν. Μηδ' ἀποδημοῦντα ἐπιστρέφεσθαι, [τουτέστι] μὴ ἔχεσθαι τοῦ βίου τούτου ἀποθνήσκοντα. Τὰς δὲ λεωφόρους μὴ βαδίζειν, δι' οὗ ταῖς τῶν πολλῶν ἕπεσθαι γνώμαις

tollenda, ut assuefiamus nonnisi temperanter edere, sive quod essent mortuo destinata... Gallo plumis albis abstinendum, quod Mensi sacer sit atque ejus supplex : hoc quidem habebatur in bonis : Mensi autem sacer erat, quod horas significat. Pisces item non gustandos eos qui sacri sunt, neque enim fas esse eadem diis et hominibus apponi, sicut nec servis et liberis. Candidum quidem quod est, ad boni pertinere naturam; atrum vero ad mali. Panem non frangendum : namque ad unum veteres amicorum coibant, quemadmodum nunc etiam barbari; neque dividendum esse qui illos cogat : alii ad judicium referunt quod apud inferos fit; alii quod in bello formidinem faciat; alii quod ab hoc incipiat universum. Solidarumque figurarum omnium pulcherrimam sphæram esse, planarum vero circulum. Senectutem et omne detrimento obnoxium pari ratione teneri : juventutem itidem et quicquid incrementa suscipit idem esse. Sanitatem speciei esse constantiam, morbum contra hujus esse interitum. De sale ita sensisse, ut apponendum idcirco statueret, quod justitiæ admoneret : hoc enim quicquid occupaverit servat et gignitur ex purissimis sole ac mari. Hæc sunt quæ Alexander in Pythagoricis repperisse se commentariis tradit, et his affinia Aristoteles.

7.

Quædam etiam arcano modo quasi per ænigmata proferebat, quorum pleraque Aristoteles perscripsit. Verbi gratia, quum mare Saturni lacrymam appellaret; ursas vero polares Rheæ manus, Pleiadem Musarum lyram, planetas canes Proserpinæ; sonum autem, qui æris percussu redditur, dæmonis cujusdam vocem esse in ipso ære inclusam.

8.

Erat et aliud quoddam symbolorum genus hujusmodi: Stateram non esse transiliendam: hoc est, avaritiam esse fugiendam. Ignem gladio non fodiendum : id est, tumi-

ἐκώλυεν, τάς τε τῶν ὀλίγων καὶ πεπαιδευμένων μεταθεῖν. Μηδὲ χελιδόνας ἐν οἰκίαις δέχεσθαι, τουτέστι λάλους ἀνθρώπους καὶ περὶ γλῶτταν ἀκρατεῖς ὁμωροφίους μὴ ποιεῖσθαι. Φορτίον δὲ συνανατιθέναι μὲν τοῖς βαστάζουσιν, συγκαθαιρεῖν δὲ μή, δι' οὗ παρῄνει μηδενὶ πρὸς ῥᾳστώνην ἀλλὰ πρὸς ἀρετὴν καὶ πόνους συμπράττειν. Θεῶν τε εἰκόνας ἐν δακτυλίοις μὴ φορεῖν, τουτέστι τὴν περὶ θεῶν δόξαν καὶ λόγον μὴ πρόχειρον μηδὲ φανερὸν ἔχειν μηδ' εἰς πολλοὺς φέρειν. Σπονδάς τε ποιεῖσθαι τοῖς θεοῖς κατὰ τὸ οὖς τῶν ἐκπωμάτων· ἐντεῦθεν γὰρ ᾐνίττετο τιμᾶν τοὺς θεοὺς καὶ ὑμνεῖν τῇ μουσικῇ· αὕτη γὰρ διὰ ὤτων χωρεῖ· μηδ' ἐσθίειν ὅσα μὴ θέμις, γένεσιν, αὔξησιν, ἀρχήν, τελευτήν, μηδ' ἐξ ὧν ἡ πρώτη τῶν πάντων ὑπόθεσις γίνεται.

Hieronymus adv. Rufin. l. III, t IV, 2, p. 469 ed. Paris. 1706 : *Pythagorica et illa præcepta sunt, amicorum omnia esse communia... illaque ænigmata, quæ diligentissime Aristoteles in suis libris prosequitur : Stateram ne transilias, id est ne prætergrediare justitiam ; Ignem gladio ne fodias, iratum videlicet et tumidum animum verbis maledicis ne lacessas ; Coronam minime carpendam, id est leges urbium conservandas ; Cor non comedendum, id est mœrorem de animo projiciendum. Quum profectus fueris, inquit, ne redeas, id est post mortem vitam ipsam ne desideres ; Per viam publicam ne ambules, id est ne multorum sequaris errores ; Hirundinem in domum non suscipiendam, id est garrulos et verbosos homines sub eodem tecto non habendos ; Oneratis superponendum, onus deponentibus non communicandum, id est ad virtutem incedentibus augmentanda præcepta, tradentes se otio relinquendos* (1).

Nec minus ex Aristotele fortasse fluxerunt, quæ de his symbolis aliisque similibus apud varios scriptores leguntur, præcipue apud Diogen. Laert. VIII, 17 : Ἦν δ' αὐτῷ τὰ σύμβολα τάδε· πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, ζυγὸν μὴ ὑπερβαίνειν, ἐπὶ χοίνικος μὴ καθίζειν, καρδίαν μὴ ἐσθίειν, φορτίον μὴ συγκαθαιρεῖν, συνεπιτιθέναι δέ· τὰ στρώματα ἀεὶ συνδεδεμένα ἔχειν, ἐν δακτυλίῳ εἰκόνα θεοῦ μὴ περιφέρειν, χύτρας ἴχνος συγχεῖν ἐν τῇ τέφρᾳ, δᾳδίῳ θᾶκον μὴ ὀμόργνυσθαι, πρὸς ἥλιον τετραμμένον μὴ ὀμίχειν, τὰς λεωφόρους μὴ βαδίζειν, μὴ ῥᾳδίως δεξιὰν ἐμβάλλειν, ὁμωροφίους χελιδόνας μὴ ἔχειν, γαμψώνυχα μὴ τρέφειν, ἀπονυχίσμασι καὶ κουραῖς μὴ ἐπουρεῖν μηδὲ ἐφίστασθαι, ὀξεῖαν μάχαιραν ἀποστρέφειν, ἀποδημοῦντα ἐπὶ τοῖς ὅροις ἀνεπιστρεπτεῖν. Ἤθελε δ' αὐτῷ τὸ μὲν πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, δυναστῶν ὀργὴν καὶ οἰδοῦντα θυμὸν μὴ κινεῖν· τὸ δὲ ζυγὸν μὴ ὑπερβαίνειν, τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν. Ἐπί τε χοίνικος μὴ καθίζειν, ἐν ἴσῳ τοῦ ἐνεστῶτος φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος· ἡ γὰρ χοῖνιξ ἡμερησία τροφή. Διὰ δὲ τοῦ καρδίαν μὴ ἐσθίειν ἐδήλου μὴ τὴν ψυχὴν ἀνίαις καὶ λύπαις κατατήκειν. Διὰ δὲ τοῦ εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι παρῄνει τοῖς ἀπαλλαττομένοις τοῦ βίου μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν μηδ' ὑπὸ τῶν ἐνταῦθα ἡδονῶν ἐπάγεσθαι. Iamblich. Vit. Pythag. c. 18, s. 82 ss. Ælian. Var. Hist. IV, 17. In Œconomicis quæ Aristoteli tribuuntur, I, c. 4, § 1, legitur : Καθάπερ οἱ Πυθαγόρειοι λέγουσιν, ὥσπερ ἱκέτιν καὶ ἀφ' ἑστίας ἠγμένην ὡς δεῖ ἥκιστα δεῖν ἀδικεῖν.

Quæ apud Iamblichum scripta sunt, quum in iis haud pauca, ne dicam pæne omnia, ex Aristotele desumpta videantur, hîc apponenda sunt : Πάντα δὲ τοιαῦτα ἀκούσματα διῄρηται εἰς

(1) Inde procul dubio ducta sunt quæ frequentissime in codicibus medii ævi leguntur *Ænigmata Aristotelis*. En qualia scripta sunt in cod. Biblioth. Argentorat. 4329, f. 284 recto : *Incipiunt enigmata alristotelis moralizata per fratrem holkot* (cf. Fabricii *Bibl. med. et inf. latin.* l. VIII, p. 799) *sacre pagine professorem. Stateram ne transilias ; id est ne prætergrediaris justitiam. Ignem gladio ne fodias ; id est iracundum verbis asperis ne provoces. Coronam Minervæ ne carpias ; id est leges civitatis ne reprehendas. Cor ne comedas ; id est mœrorem de animo expellas. Cum profectus fueris ne redeas : id est post mortem vitam istam ne desideres. Per viam publicam ne ambules ; id est ne multorum sequaris errorem. Irundinem in domo tua ne sustineas, id est verbosos sub eodem tecto tecum non* (*habeas*). *Primum enigma : stateram ne transilias. Ista statera est vita humana*, etc. In alio vero 1744, fol. 73 recto : *Valerius l.* 3 *ponit enigmata Aristotelis. Primum est* etc. Qui Valerius ille Julius Valerius est cujus historiam fabulosam Alexandri edidit Maius. In nostro vero textu nihil tale legitur.

dum et iracundum asperis verbis non commovendum. Coronam non vellicandam : hoc est leges non violandas ; illæ enim civitatum coronæ sunt. Præter hæc et alia hujusmodi : Cor non comedendum : hoc est non oportere semetipsum mœrore conficere. Chœnici seu modio non insidendum : sive non ignaviter vivendum. Ubi profectus fueris, non revertendum : hoc est, imminente morte vitam non desiderandam. Publica via non incedendum : quo vulgi opiniones sequi vetabat, sed paucorum atque eruditorum sectandas. Hirundines in ædes non recipiendas : hoc est, garrulos et intemperantioris linguæ homines in contubernium non admittendos. Homines onera imponendo, non detrahendo juvandos : quo admonebat, non ad ignaviam, sed ad virtutem operam aliis commodandam. Deorum imagines in annulis non ferendas : id est, sapientiam sermonemque de diis non temere passim in promptu habendum, nec in vulgus efferendum. Libamina diis facienda juxta auriculam poculorum. Eo enim indicabat, deos musica honorandos ac celebrandos esse : ea enim aures penetrat. Nec edenda ea, quæ nefas est edere, generationem scilicet, incrementum, principium, finem, neque ea, quibus rerum omnium fundamentum constat.

τρία εἴδη. Τὰ μὲν γὰρ αὐτῶν τί ἐστι σημαίνει, τὰ δὲ τί μάλιστα, τὰ δὲ τί δεῖ πράττειν ἢ μὴ πράττειν. Τὰ μὲν οὖν τί ἐστι τοιαῦτα, οἷον τί ἐστιν αἱ μακάρων νῆσοι, ἥλιος, σελήνη; τί ἐστι τὸ ἐν Δελφοῖς μαντεῖον; τετρακτύς· ὅπερ ἐστὶν ἡ ἁρμονία, ἐν ᾗ αἱ Σειρῆνες. Τὰ δὲ τί μάλιστα, οἷον τί τὸ δικαιότατον; θύειν. Τί τὸ σοφώτατον; ἀριθμός, δεύτερον δὲ, τὸ τοῖς πράγμασι τὰ ὀνόματα τιθέμενον. Τί σοφώτατον τῶν παρ' ἡμῖν; ἰατρική. Τί κάλλιστον; ἁρμονία. Τί κράτιστον; γνώμη. Τί ἄριστον; εὐδαιμονία. Τί δὲ τὸ ἀληθέστατον λέγεται; ὅτι πονηροὶ οἱ ἄνθρωποι .. (§ 83.) Ἔστι δὲ αὕτη ἡ αὐτὴ τῇ τῶν ἑπτὰ σοφιστῶν (cf. supra fragm. 29) λεγομένῃ σοφίᾳ. Καὶ γὰρ ἐκεῖνοι ἐζήτουν οὐ τί ἐστι τἀγαθὸν ἀλλὰ τί μάλιστα, οὐδὲ τί τὸ χαλεπὸν ἀλλὰ τί τὸ χαλεπώτατον, ὅτι τὸ αὑτὸν γνῶναι, οὐδὲ τί τὸ ῥᾴδιον ἀλλὰ τί τὸ ῥᾷστον, ὅτι τῷ ἔθει χρῆσθαι. Τῇ τοιαύτῃ γὰρ σοφίᾳ μετηκολουθηκέναι ἔοικε τὰ τοιαῦτα ἀκούσματα· πρότερον γὰρ οὗτοι Πυθαγόρου ἐγένοντο. Τὰ δὲ τί πρακτέον ἢ οὐ πρακτέον τῶν ἀκουσμάτων τοιαῦτά ἐστιν, οἷον ὅτι δεῖ τεκνοποιεῖσθαι· δεῖ γὰρ ἀντικαταλιπεῖν τοὺς θεραπεύοντας τὸν θεόν. Ἢ ὅτι δεῖ τὸν δεξιὸν ὑποδεῖσθαι πρότερον. Ἢ ὅτι οὐ δεῖ τὰς λεωφόρους βαδίζειν ὁδοὺς οὐδὲ εἰς περιρραντήριον ἐμβάπτειν οὐδὲ ἐν βαλανείῳ λούεσθαι· ἄδηλον γὰρ ἐν πᾶσι τούτοις εἰ καθαρεύουσιν οἱ κοινωνοῦντες. Καὶ ἄλλα τάδε· φορτίον μὴ συγκαθαιρεῖν· οὐ γὰρ δεῖ αἴτιον γίνεσθαι τοῦ μὴ πονεῖν, συνανατιθέναι δέ. Χρυσὸν ἐχούσῃ μὴ πλησιάζειν ἐπὶ τεκνοποιίᾳ. Μὴ λέγειν ἄνευ φωτός. Σπένδειν τοῖς θεοῖς κατὰ τὸ οὖς τῆς κύλικος οἰωνοῦ ἕνεκα καὶ ὅπως μὴ ἀπὸ τοῦ αὐτοῦ πίνηται. Ἐν δακτυλίῳ μὴ φέρειν σημεῖον θεοῦ εἰκόνα, ὅπως μὴ μιαίνηται· ἄγαλμα γάρ, ὅπερ δεῖ φυτεῦσαι ἐν τῷ οἴκῳ. Γυναῖκα οὐ δεῖ διώκειν τὴν αὑτοῦ· ἱκέτις γάρ, διὸ καὶ ἀφ' ἑστίας ἀγόμεθα καὶ ἡ λῆψις διὰ δεξιᾶς. Μηδὲ ἀλεκτρυόνα λευκὸν θύειν· ἱκέτης γάρ, ἱερὸς τοῦ Μηνός, διὸ καὶ σημαίνουσιν ὥραν. Καὶ συμβουλεύειν μηδὲν παρὰ τὸ βέλτιστον τῷ συμβουλευομένῳ· ἱερὸν γὰρ συμβουλή. Ἀγαθὸν οἱ πόνοι, αἱ δὲ ἡδοναὶ ἐκ παντὸς τρόπου κακόν· ἐπὶ κολάσει γὰρ ἐλθόντας δεῖ κολασθῆναι. Θύειν χρὴ ἀνυπόδετον καὶ πρὸς τὰ ἱερὰ προσιέναι. Εἰς ἱερὸν οὐ δεῖ ἐκτρέπεσθαι· οὐ γὰρ πάρεργον δεῖ ποιεῖσθαι τὸ θεῖον. Ὑπομένοντα καὶ ἔχοντα τραύματα ἐν τῷ ἔμπροσθεν τελευτῆσαι ἀγαθόν, ἐναντίως δὲ ἐναντίον. Εἰς μόνα τῶν ζῴων οὐκ εἰσέρχεται ἀνθρώπου ψυχὴ ἃ θέμις ἐστὶ τυθῆναι· διὰ τοῦτο τῶν θυσίμων χρὴ ἐσθίειν μόνον οἷς ἂν τὸ ἐσθίειν καθήκῃ, ἄλλου δὲ μηδενὸς ζῴου.

9. (114 b.)

Martianus Capella l. VII, § 731, p. 584 ed. Kopp.: *Licet Aristoteles, unus e sectatoribus meis* (Philosophiæ scilicet quæ loquitur), *ex eo quod unum solum ipsa sit et se quæri semper velit, Cupidinem asserat nominatam; quod se cupiat, siquidem ultra nihil habeat et expers totius elationis aut copulæ in se proprios detorquet ardores.* Leguntur in capite *de Monade.*

9. (115.)

Theon Smyrn. Arithmet. c. 5, p. 30 ed. de Gelder.: Τῶν δὲ ἀριθμῶν ποιοῦνται τὴν πρώτην τομὴν εἰς δύο· τοὺς μὲν γὰρ αὐτῶν ἀρτίους, τοὺς δὲ περιττούς φασι... πρώτην δὲ τῶν περιττῶν ἔνιοι ἔφασαν μονάδα... Ἀριστοτέλης δὲ ἐν τῷ Πυθαγορικῷ τὸ ἓν φησιν ἀμφοτέρων μετέχειν τῆς φύσεως· ἀρτίῳ μὲν γὰρ προστεθὲν περιττὸν ποιεῖ, περιττῷ δὲ ἄρτιον, ὃ οὐκ ἂν ἠδύνατο εἰ μὴ ἀμφοῖν ταῖν φυσέοιν μετεῖχε· διὸ καὶ ἀρτιοπέριττον καλεῖσθαι τὸ ἕν. Συμφέρεται δὲ τούτοις καὶ Ἀρχύτας.

Cf. Aristot. Metaphys. I, c. 5, 8 : Φαίνονται δὴ καὶ οὗτοι (οἱ καλούμενοι Πυθαγόρειοι scil.) τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν εἶναι καὶ ὡς ὕλην τοῖς οὖσι καὶ ὡς πάθη τε καὶ ἕξεις, τοῦ δὲ ἀριθμοῦ στοιχεῖα τό τε ἄρτιον καὶ τὸ περιττὸν, τούτων δὲ τὸ μὲν πεπερασμένον τὸ δὲ ἄπειρον, τὸ δὲ ἓν ἐξ ἀμφοτέρων εἶναι τούτων· καὶ γὰρ ἄρτιον εἶναι καὶ περιττόν· τὸν ἀριθμὸν ἐκ τοῦ ἑνός, ἀριθμοὺς δὲ καθάπερ εἴρηται τὸν ὅλον οὐρανόν, et Alex. Aphrod. ad h. l. p. 30, 17 Bonitz. : Τῶν δὲ ἀριθμῶν τὴν μονάδα ἀρχὴν εἶναι, συγκειμένην ἐκ τε τοῦ ἀρτίου καὶ περιττοῦ· εἶναι γὰρ τὴν μονάδα ἅμα ἀρτιοπέριττον, ὃ ἐδείκνυε διὰ τοῦ γεννητικὴν αὐτὴν εἶναι καὶ τοῦ περιττοῦ καὶ τοῦ ἀρτίου ἀριθμοῦ· ἀρτίῳ μὲν γὰρ προστιθεμένη περιττὸν γεννᾷ, περιττῷ δὲ ἄρτιον.

10. (116.)

Joann. Stob. Eclog. phys. I, 26, t. I, p. 558 Heer.: Περὶ ἐκλείψεως σελήνης... Τῶν Πυθαγο-

9.

Numerorum vero primam divisionem instituunt in duas species, ipsorum enim alios pares, alios impares appellant... Primam vero imparium quidam esse dixerunt unitatem... Aristoteles vero in Pythagorico unum ait utriusque naturæ esse participem. Pari enim additum imparem facit, impari vero parem. Quod præstare non posset, nisi utriusque naturæ particeps fuisset : quamobrem unum pariter impar appellatur ; in quam sententiam etiam Archytas fertur.

10.

Pythagorei quidem, teste Aristotelica narratione et Philippo Opuntio, de defectu lunæ ita sentiunt, obstaculo vel nostræ, vel oppositæ terræ fieri.

ρείων τινὲς κατὰ τὴν Ἀριστοτελικὴν (Ἀριστοτέλιον, i. e. Ἀριστοτέλειον cod. A ap. Meinek.) ἱστορίαν καὶ τοῦ Φιλίππου τοῦ Ὀπουντίου ἀπόφασιν ἀντιφράξει τοτὲ μὲν τῆς γῆς τοτὲ δὲ τῆς ἀντίχθονος. Quæ sequuntur apud Stobæum : τῶν δε νεωτέρων εἰσί τινες οἷς ἔδοξε, ad Aristotelem referri vix possunt, ut Hecrenius voluit. Cur hoc fragmentum omiserit Rosius nescio.

11. (117.)

Simplic. in Arist. de Cælo f. 94 recto, p. 492, A, 13 Brand.: Οἱ μὲν οὖν Πυθαγόρειοι εἰς δύο συστοιχίας πάσας τὰς ἀντιθέσεις ἀναγαγόντες, τὴν μὲν χείρονα τὴν δὲ βελτίονα ἤτοι τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, καὶ τῇ δεκάδι συμβολικῶς ὡς τῷ παντὶ ἀριθμῷ συμπληρώσαντες ἑκατέραν, ἑκάστην ἀντίθεσιν τῶν δέκα οὕτω παρέλαβον ὡς πάσας τὰς ἑαυτῆς συγγενείας συνεμφαίνουσαν. Καὶ τῶν τοπικῶν οὖν σχέσεων τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν παρέλαβον... ἐκ τούτων καὶ τὰς ἄλλας τοπικὰς ἀντιθέσεις ἐδήλωσαν. Τὸ οὖν δεξιὸν καὶ ἄνω καὶ ἔμπροσθεν ἀγαθὸν ἐκάλουν, τὸ δ' ἀριστερὸν καὶ κάτω καὶ ὄπισθεν κακὸν ἔλεγον, ὡς αὐτὸς Ἀριστοτέλης ἱστόρησεν ἐν τῇ τῶν Πυθαγορείοις ἀρεσκόντων Συναγωγῇ.

Aristoteles de Cælo II, 2, § 5 dixerat : Διὸ καὶ τῶν Πυθαγορείων θαυμάσειεν ὅτι δύο μόνας ταύτας ἀρχὰς ἔλεγον, τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν, τὰς δὲ τέτταρας παρέλιπον οὐθὲν ἧττον κυρίας οὔσας. Cf. ibid. § 1.

12. (118.)

Joann. Stob. Eclog. Phys. I, 18, 1, p. 380 Heer.: Ἀριστοτέλης ἐν τετάρτῳ Φυσικῆς Ἀκροάσεως (IV, 6) γράφει· « Εἶναι δέ φασιν (ἔφασαν καὶ ap. Aristotelem legitur) οἱ Πυθαγόρειοι κενὸν καὶ ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος ὡς ἀναπνέοντι.» Ἐν δὲ τῷ περὶ τῆς Πυθαγόρου φιλοσοφίας πρώτῳ γράφει τὸν μὲν οὐρανὸν εἶναι ἕνα, ἐπεισάγεσθαι δ' ἐκ τοῦ ἀπείρου χρόνον τε καὶ πνοὴν καὶ τὸ κενὸν, ὃ διορίζει ἑκάστων τὰς χώρας ἀεί.

Idem Stobæus, ibid. I, 18, 4, p. 390 : Οἱ Πυθαγόρου ἐκτὸς εἶναι τοῦ κόσμου κενὸν, εἰς ὃ ἀναπνεῖ ὁ κόσμος καὶ ἐξ οὗ.

Ad Aristotelem fortasse, ut Rosius vidit, referenda sunt quæ ex Alexandro habet Simplicius ad Aristot. Physic. IV, 10, § 7, verba : Οἱ μὲν γὰρ τὴν τοῦ ὅλου κίνησιν εἶναί φασιν (τὸν χρόνον scil.), οἱ δὲ τὴν σφαῖραν αὐτήν· Simpl. f. 165 verso p. 387, B, 6 : Οἱ μὲν τὴν τοῦ ὅλου κίνησιν καὶ περιφορὰν τὸν χρόνον εἶναί φασιν, ὡς τὸν Πλάτωνα νομίζουσιν ὅ τε Εὔδημος καὶ ὁ Θεόφραστος καὶ ὁ Ἀλέξανδρος, οἱ δὲ τὴν σφαῖραν αὐτὴν τοῦ οὐρανοῦ, ὡς τοὺς Πυθαγορικοὺς ἱστοροῦσι λέγειν.

13. (119.)

Alexand. Aphrodis. in Aristot. Metaph. p. 56, 10 Bon.: Τῆς δὲ τάξεως τῆς ἐν τῷ οὐρανῷ ἣν ἐποιοῦντο τῶν ἀριθμῶν οἱ Πυθαγόρειοι, μνημονεύει ἐν τῷ δευτέρῳ περὶ τῆς Πυθαγορικῆς δόξης. De hac re ipse Aristoteles dixit quoque Metaphys. I, 5, § 2; c. 8, § 14.

14. (120.)

Alexand. Aphrodis. in Aristot. Metaphys. I, 5, § 4 : Διώρισται δὲ περὶ τούτων (de denario scil. numero et de Pythagoreorum de eo opinione) ἐν

11.

Pythagorei in duas series omnia quæ inter opposita sunt reducentes, hanc quidem deteriorem, hanc autem meliorem, scilicet boni et mali, et denario numero, tanquam omni numero complentes utramque, unamquamque oppositionem ipsarum decem sic assumpserunt, tanquam omnes sui ipsius cognationes simul declarantem. Et localium igitur habituum dextrum et sinistrum assumpserunt... ex his et alias oppositiones quæ in loco fiunt significaverunt. Nam dextrum et sursum et anterius bonum vocabant; sinistrum autem et deorsum et posterius malum vocabant, ut ipse Aristoteles in collectione eorum quæ Pythagoreis placuerunt narravit.

12.

Aristoteles in quarto Physicæ Auscultationis libro sic ait : Vacuum in cælo ponunt Pythagorei, cælumque illud ex infinito, quod ex eo spiritum ducat, animæ instar ingredi. Primo autem de philosophia Pythagorica libro ita scribit : Cælum esse unum atque ex infinito tempus et vacuum, quod singulorum loca describat, respiratione attrahere.

13.

De ordine cælesti numerorum, quem Pythagorici asserebant, Aristoteles meminit in secundo libro de opinione Pythagoreorum.

14.

Pythagorei quum numerum decem perfectum esse arbitrarentur viderentque in rebus sensu nobis exploratis novem globos moveri, septem errantium stellarum, octavum inerrantium, nonum terræ, nam et hanc in orbem moveri putabant, circa vestam consistentem, quæ secundum ipsos est ignis, quandam antichthonem (*i. e. terram*

ἑτέροις ἡμῖν ἀκριβέστερον· p. 30, 25 Bon. : Αὐτίκα γοῦν τέλειον ἀριθμὸν ἡγούμενοι τὴν δεκάδα, ὁρῶντες δὲ ἐν τοῖς φαινομένοις ἐννέα τὰς κινουμένας σφαίρας, ἑπτὰ μὲν τὰς τῶν πλανωμένων, ὀγδόην δὲ τὴν τῶν ἀπλανῶν, ἐννάτην δὲ τὴν γῆν (καὶ γὰρ καὶ ταύτην ἡγοῦντο κινεῖσθαι κύκλῳ περὶ μένουσαν τὴν ἑστίαν, ὃ πῦρ ἐστὶ κατ' αὐτούς), αὐτοὶ προσέθεσαν ἐν τοῖς δόγμασι καὶ τὴν ἀντίχθονά τινα, ἣν ἀντικινεῖσθαι ὑπέθεντο τῇ γῇ καὶ διὰ τοῦτο τοῖς ἐπὶ τῆς γῆς ἀόρατον εἶναι. Λέγει δὲ περὶ τούτων καὶ ἐν τοῖς περὶ Οὐρανοῦ μὲν καὶ ἐν ταῖς τῶν Πυθαγορικῶν δόξαις ἀκριβέστερον.

Illud ἐν ἑτέροις, quod apud Aristotelem legitur, optime ad secundum librum de Cælo referri posse puto, in cujus cap. 13 satis copiose de hac Pythagoreorum sententia exponitur, ita ut fortasse non necesse sit, propter ἀκριβέστερον quod addit philosophus, cum Bonitzio in comm. ad l. l. p. 79 et *Zeitschr. für œster. Gymn.* 1866, p. 773, de iis libris cogitare quos singillatim de Pythagoreorum doctrina conscripserat philosophus. Non tamen ideo cum Rosio negare velim, Alexandrum tantum modo e conjectura locutum esse, licet, ut et in libris de Bono factum videtur, vix ipse hosce libros quos laudat tractaverit. Ceterum vide sequens fragmentum.

15. (120.)

Ad ipsum locum Aristotelis de Cælo II, c. 13, quem fortasse in Metaphysicis respexerat philosophus, hæc adscripsit Simplicius p. 505, A 18 Brand., p. 229, A, 16 ed. Karsten. Traj. ad Rhen. 1866 : Ἀντιφάσκουσι δὲ οἱ Πυθαγόρειοι· τοῦτο γὰρ σημαίνει τὸ ἐναντίως (Aristoteles dixerat : Ἐναντίως οἱ περὶ τὴν Ἰταλίαν, καλούμενοι δὲ Πυθαγόρειοι λέγουσιν)· οὐ περὶ τὸ μέσον λέγοντες αὐτὴν (τὴν γῆν scil.), ἀλλ' ἐν μὲν τῷ μέσῳ τοῦ παντὸς πῦρ εἶναί φασι, περὶ δὲ τὸ μέσον τὴν ἀντίχθονα φέρεσθαί φασι γῆν οὖσαν καὶ αὐτήν, ἀντίχθονα δὲ καλουμένην διὰ τὸ ἐξ ἐναντίας τῇδε τῇ γῇ εἶναι· μετὰ δὲ τὴν ἀντίχθονα ἡ γῆ ἥδε φερομένη καὶ αὐτὴ περὶ τὸ μέσον, μετὰ δὲ τὴν γῆν ἡ σελήνη· οὕτω γὰρ αὐτὸς (ὁ Ἀριστοτέλης scil.) ἐν τῷ περὶ τῶν Πυθαγορικῶν (ἐν τῷ πέρατι τ. II. ap. Brand. et similiter vet. versio lat. Venet. 1555, f. 77 recto : *sic in fine Pythagoricorum narrat*) ἱστορεῖ· τὴν δὲ γῆν ὡς ἓν τῶν ἄστρων οὖσαν κινουμένην περὶ τὸ μέσον κατὰ τὴν πρὸς τὸν ἥλιον σχέσιν νύκτα καὶ ἡμέραν ποιεῖν. Ἡ δὲ ἀντίχθων κινουμένη περὶ τὸ μέσον καὶ ἑπομένη τῇ γῇ οὐχ ὁρᾶται ὑφ' ἡμῶν διὰ τὸ ἐπιπροσθεῖν ἡμῖν ἀεὶ τὸ τῆς γῆς σῶμα... τέλειον γὰρ ἀριθμὸν ὑποθέμενοι τὴν δεκάδα ἐβούλοντο καὶ τῶν κυκλοφορητικῶν σωμάτων τὸν ἀριθμὸν εἰς δέκα συνάγειν. Θέντες οὖν, φησί, τὴν ἀπλανῆ μίαν καὶ τὰς πλανωμένας ἑπτὰ καὶ τὴν γῆν ταύτην σὺν τῇ ἀντίχθονι, τὴν δεκάδα συνεπλήρωσαν. Καὶ οὕτω μὲν αὐτὸς τὰ τῶν Πυθαγορείων ἀπεδέξατο, οἱ δὲ γνησιώτερον αὐτῶν μετασχόντες πῦρ μὲν ἐν τῷ μέσῳ λέγουσι τὴν δημιουργικὴν δύναμιν τὴν ἐκ μέσου πᾶσαν τὴν γῆν ζῳογονοῦσαν καὶ τὸ ἀπεψυγμένον αὐτῆς ἀναθάλπουσαν. Διὸ οἱ μὲν Ζανὸς πύργον αὐτὸ καλοῦσιν, ὡς αὐτὸς ἐν τοῖς Πυθαγορικοῖς (Schol. cod. Coisl. 169 e Simplicio excerptum f. 71 verso, ἐν τοῖς Πυθαγορείοις habet) ἱστόρησεν, οἱ δὲ Διὸς φυλακήν, ὡς ἐν τούτοις (apud Aristotelem scilicet l. l.), οἱ δὲ Διὸς θρόνον, ὡς ἄλλοι φασίν. Ἄστρον δὲ τὴν γῆν ἔλεγον ὡς ὄργανον καὶ αὐτὴν χρόνου (χρόνου deest in ed. Karst.)· ἡμερῶν γάρ ἐστιν αὕτη καὶ νυκτῶν αἰτία. Ἡμέραν μὲν γὰρ ποιεῖ τὸ πρὸς τῷ ἡλίῳ μέρος καταλαμπόμενον, νύκτα δὲ τὸ κατὰ τὸν (ποιεῖ τῷ πρὸς τῷ ἡλίῳ μέρει καταλαμπομένη, νύκτα δὲ κατὰ τὸν ed. Karst.) κῶνον τῆς γινομένης ἀπ' αὐτῆς σκιᾶς. Ἀντίχθονα δὲ τὴν σελήνην ἐκάλουν

---

oppositam) suis dogmatis addebant, quam ipsis in oppositum terræ moveri placebat, ac idcirco oculis in terra degentium esse ignotam. Quibus de rebus exactius disseruit Aristoteles in libris de Cælo, et in Opinionibus Pythagoricorum.

15.

primi numeri cujuscunque etiam numeri principia esse censuit. Sed primus numerus est dualitas, cujus principia dixit esse unum, magnum et parvum. Nam quatenus dualitas est, multitudinem et paucitatem in se retinet, quatenus vere duplum est, in ipsa multitudo est. Nam multitudo est excessus et magnitudo aliquod duplum et quatenus dimidium paucitas est : ideo excessum et defectum magnum et parvum esse in ipsa secundum hæc posuit, quatenus vero utraque pars ejus est unitas, et ipsa dualitas una quædam forma quum participet unitate, ideo principia dualitatis dixit esse unum, magnum et parvum. Verum dualitatem esse indefinitam quæ participat magno et parvo, vel majore et minore, quum habeat magis et minus. Nam secundum intensionem et remissionem hæc procedentia non stant, sed procedunt in indefinitatem infinitudinis. Quia igitur primus numerus est dualitas et hujus principium est unum, magnum et parvum, et omnis numeri eadem principia esse necesse est. Sed numeri sunt elementa omnium, quæ sunt; quare et omnium principium est unum et magnum atque parvum, vel indeterminata dualitas. Etenim unusquisque numerorum quatenus est unum aliquid et definitum, uno participat, sed quatenus dividitur, quum etiam multitudo sit, indeterminatæ dualitatis. Plato autem dixit et ideas numeros. Merito igitur principia numeri et idearum principia fecit. Sed dualitatem naturam infiniti esse dixit, quia magnum et parvum non sunt determinata, vel magis et minus. Sed habent magis et minus quæ in infinitum procedunt. » Sic ergo quum dicat Aristoteles, in quibus Pythagorei et in quibus Plato posuere infinitum, deinceps narrat quid esse infinitum dixere Pythagorei et propter quid.

Plato quum dicat in sermone de Bono magnum et parvum materiam, quam et infinitam dixit, et ultro contineri omnia sensilia ab ipso infinito et ignota esse ob materiam et infinitum et habere naturam fluxilem, consequens, inquit, huic videtur illud, scilicet etiam in intelligibilibus redigi sub parvo et magno ibi principium, quod est ipsa dualitas indeterminata, quæ ipsa quoque principium est cum uno, quod est cujuscunque numeri principium et rerum omnium. Nam numeri et ideæ sunt. Consequens igi-

γράψατο. Locum Joannis Philoponi in Arist. de Gen. et corrupt. II, 3, supra jam attulimus. Inde et illud vides satis verisimiliter hinc fluxisse quæ apud Asclepium in Aristotelis Metaphys. I, p. 567, A, 24 leguntur : Κακῶν μέντοι γε οὔ φαμεν εἶναι ἰδέας· τὰ γὰρ κακὰ τῷ ὄντι ἀνυπόστατα ὑπάρχουσι καὶ παρυφίστανται, ὡς λέγεται ἐν ταῖς Πλατωνικαῖς συνουσίαις.

4. (130.)

Alexand. Aphrod. in Arist. Metaphys. I, 6, § 7, p. 45, 8 Bon. : Ζητήσαι δ' ἄν τις πῶς λέγοντος Πλάτωνος καὶ ποιητικὸν αἴτιον, ἐν οἷς λέγει· « τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦ παντὸς εὑρεῖν τε καὶ δεῖξαι ἔργον » (Timæus p. 28, C), ἀλλὰ καὶ τὸ οὗ ἕνεκεν καὶ τέλος, δι' ὧν πάλιν λέγει· « περὶ τὸν πάντων βασιλέα πάντα ἔστι κἀκείνου ἕνεκα πάντα » (Epist. II, p. 312, E), οὐδετέρου τούτων τῶν αἰτίων ἐμνημόνευσεν ὁ Ἀριστοτέλης ἐν τῇ δόξῃ τῇ Πλάτωνος; ἢ ὅτι ἐν οἷς περὶ αἰτίων ἔλεγεν, οὐδενὸς τούτων ἐμέμνητο, ὡς ἐν τοῖς περὶ τ'Ἀγαθοῦ δέδειχεν· ἢ ὅτι τῶν ἐν γενέσει καὶ φθορᾷ οὐ τίθεται ταῦτα αἴτια, ἀλλ' οὐδὲ ἐξειργάσατό τι περὶ αὐτῶν.

5. (131.)

Vita Aristot. cod. Marciani, p. 7 ed. Robbe, Lugd. Bat. 1861 : Καθόλου γὰρ ὁ Ἀριστοτέλης τὸ ἦ[θος μέτριος γέ]γονεν, εἰ ἐν μὲν ταῖς Κατηγορίαις φησὶ μὴ δεῖν προχείρως ἀποφαίνεσθαι, ἀλλὰ πολλάκις ἐπεσκεμμένον, καὶ μὴ[ν οὐδὲ διαπορ]εῖν μόνον ἄχρηστον εἶναι· καὶ ἐν τοῖς περὶ τοῦ Ἀγαθοῦ « δεῖ μεμνῆσθαι ἄνθρωπον ὄντα οὐ μόνον [εὐδαίμονα ἀλλὰ] καὶ τὸν ἀποδεικνύντα »· καὶ ἐν τοῖς Ἠθικοῖς Νικομαχείοις, etc.

Paulo aliter Rosius qui ipse codicem, cujus apographo a Cobeto confecto usus est editor Batavus, tractavit : Κα[ὶ μάλα δὲ] ὁ Ἀριστοτέλης τὸ ἦ[θος μέτριος γέ]γονεν, εἰ ἐν μὲν ταῖς Κατηγορίαις φασὶ μὴ δεῖν προχείρως ἀποφαίνεσθαι, ἀλλὰ πολλάκις ἐπεσκεμμένον, καὶ μὴ [ἀπορ]εῖν μόνον ἄχρηστον εἶναι· καὶ ἐν τοῖς περὶ τοῦ ἀγαθοῦ δε[ῖ μεμν]ῆσθαι ἄνθρωπον ὄντα οὐ μόνον τὸν εὐ[τυχοῦντα ἀλλ]ὰ καὶ τὸν ἀποδεικνύντα κτλ.

ΠΕΡΙ ΙΔΕΩΝ.

Titulus libri : *de Ideis utrum existant nec ne, libri III*, præcedit in indice Dschemaluddini (14) mentionem *Compendii operis Platonici de Regimine civitatum* (*Aristotelis libri specierum tres utrum existant nec ne* apud Hadschi Khalf. V,

---

tur est illud in his, quæ apprehenduntur intelligentia sub illo quod in illis infinitum et ignotum est, contineri et determinari intelligibilia, quum sint natura nota et certa, quandoquidem sint formæ.

Explicat istorum placitum quod in libris quoque de Philosophia (*seu potius de Bono*) exposuit. Volentes igitur entia ad principia quæ ipsi statuebant redigere, erant autem his entium principia magnum et parvum, quam indefinitam dualitatem vocabant, in hanc ergo cuncta redigere volentes, longitudinis principia breve et longum esse dicebant, quasi ex longo quodam et brevi (i. e. magno et parvo) longitudo generetur, vel quasi tota linea sit in horum altero, plani autem angustum et latum quæ et ipsa magnum et parvum sunt.

Volentes, inquit, magnitudines a duobus principiis dedocere, uno scilicet et indefinita dualitate, ex dualitate quidem dicunt lineam ipsam longum et breve accipere, superficiem angustum et latum, solidum altum et depressum. Has enim vocabant species magni et parvi, quod est in indeterminata dualitate; principium vero quod est per ipsum unum non similiter, inquit, omnes inducebant, sed hi quidem numeros ipsos species dicebant magnitudinibus afferre, ut binarium quidem lineæ, ternarium superficiei, quaternarium autem solido; hujuscemodi enim narrat in libris de Philosophia de Platone, quare et hic brevius et concisius hanc eorum exposuit opinionem, alii vero participatione unius, speciem perficiebant magnitudinum.

4.

Sed quærat aliquis, quum Plato causam efficientem dixerit in eo loco ubi ait : « Operæ pretium est igitur effectorem ac patrem universi invenire ac demonstrare », nec cujus causa et finem prætermiserit, ubi rursus dixit : « Penes omnium regem cuncta sunt, et omnia illius causa », cur Aristoteles nullius harum causarum in Platonica opinione mentionem fecerit? Utrum quia Plato quum de causis loqueretur hanc utramque retinuit, ut docuit Aristoteles in libro de Bono? An quia nascentium et intereuntium has causas non ponit, nec de ipsis accuratius edisserit?

5.

Aristoteles in libris de Bono : Oportet reminisci hominem esse non eum solum qui fortunatus est, sed et eum qui demonstrat.

DE IDEIS.

1.

Et quidem Aristotelem non plura his adversus idearum

109). Huic respondet apud Diogenem (54) περὶ τῆς Ἰδέας α' et apud Anonymum (40) περὶ Ἰδέας α'. Duos fuisse libros Alexandri testimonio usus affirmat Syrianus (cf. fr. 1); contra Platonis doctrinam vero conscriptos auctor commentarii in Metaphysica quem secutus est Schol. ad Dionysii Thracis Grammaticam (cf. fr. 2). Inde mirari jure licet horum librorum nullam factam esse mentionem in locis Procli et Plutarchi (cf. fr. 34), in quibus Aristotelis scripta enumerantur quæ Platonicam idearum doctrinam impugnaverant. Vix igitur dubitandum erit quin hîc Rosii sequenda sit sententia conjicientis suppositios fuisse libros, præsertim quum, licet diversi fuerint a libris M et N Metaphysicorum, tamen eadem quæ in his prolata erant continuisse videantur; cf. Syrianus et Pseudo-Alexander in fr. 1.

1. (132.)

Syrianus in Metaphys. XI, 5 fin. (Ἀλλὰ περὶ μὲν τῶν ἰδεῶν καὶ τοῦτον τὸν τρόπον καὶ διὰ λογικωτέρων καὶ ἀκριβεστέρων λόγων ἔστι πολλὰ συναγαγεῖν ὅμοια τοῖς τεθεωρημένοις), p. 303, 33 Brandis., Schol. in Metaphys. Berol. 1837 : Ὅτι μὲν τούτων οὐδὲν πλέον εἰπεῖν ἔχει πρὸς τὴν τῶν εἰδῶν ὑπόθεσιν δηλοῖ καὶ τὸ πρῶτον ταύτης τῆς πραγματείας βιβλίον καὶ τὰ περὶ τῶν εἰδῶν αὐτῷ πεπραγματευμένα δύο βιβλία· σχεδὸν γὰρ ταὐτὰ ταῦτα πανταχοῦ τὰ ἐπιχειρήματα μεταφέρων καὶ ποτὲ μὲν αὐτὰ κατακερματίζων καὶ ὑποδιαιρῶν, ποτὲ δὲ συντομώτερον ἀπαγγέλλων πειρᾶται τοὺς πρεσβυτέρους αὐτοῦ φιλοσόφους εὐθύνειν. Similia e cod. Paris. 1895 leguntur apud Ravaisson, *Essai sur la Métaph.* t. I, p. 75.

Syrianus in Metaph. XIII, 6, 10 (Τὰ μὲν οὖν συμβαίνοντα ταῦτά τε κἂν ἔτι πλείω συναχθείη) apud Brandis, *de perdit. Arist. libr. de Ideis et de Bono*, Bonn. 1823, p. 14 : Ταῦτά ἐστιν ἃ ἐν τούτοις ἀντιλέγει ταῖς τῶν Πυθαγορείων καὶ Πλατωνικῶν ἀνδρῶν θεωρίαις, ἃ δὴ περιέχει καὶ τὰ ἐν τῷ μείζονι τῶν α' ῥηθέντα, ὡς καὶ ὁ ὑπομνηματιστὴς Ἀλέξανδρος ὑπεσημήνατο. Διὸ καὶ ἡμεῖς τούτοις ἐπιστήσαντες οὐδ' ἐκεῖνα παραλελοιπέναι νομίζομεν, οὐ μὴν οὐδ' ὅσα ἐν τοῖς περὶ Εἰδῶν δύο βιβλίοις πρὸς αὐτοὺς εἴρηκε· σχεδὸν γὰρ κἀκεῖ τὰ αὐτὰ ταῦτα ἀνακυκλοῖ. Cf. Pseudo-Alexand. ad h. l. p. 815, 15 Bonitz. : Τὰ μὲν οὖν συμβαίνοντα... τὰ ῥηθέντα ἐστί, καὶ ἔτι πλείω τούτων συναχθείη, τὰ περὶ τῶν Εἰδῶν γραφέντα αὐτῷ δύο βιβλία, ἄλλα ὄντα παρὰ τὸ μ' καὶ ν' καὶ ἔκτος τῆς Μετὰ τὰ φυσικὰ συντάξεως· et excerpt. e Pseudo-Philopono apud Ravaisson, l. l. p. 75.

2. (133.)

Schol. ad Dionys. Thrac. Gramm. apud Bekker. Anecd. gr. t. II, p. 660, 32 : Ἰστέον δὲ ὅτι οἱ ὅροι τῶν καθόλου καὶ ἀεὶ μενόντων εἰσίν, ὡς καὶ Ἀριστοτέλης εἴρηκεν ἐν τῷ (corr. τοῖς) περὶ Ἰδεῶν, ἃ πρὸς τὰς Πλάτωνος ἰδέας ἐστὶν αὐτῷ πεποιημένα. Τὰ μὲν μερικὰ πάντα μεταβάλλουσι καὶ οὐδέποτε ὡσαύτως ἔχουσι, τὰ δὲ καθόλου ἄτρεπτα καὶ ἀΐδιά ἐστιν.

Hæc ad commentarium in Metaphysica retulit Bournot, in commentatione : *Platonica Aristotelis opuscula*, Putbus. 1853 edita, p. 5, collato Asclepio in Metaphys. I, 9, 2 (ἐξ ἐνίων μὲν γὰρ οὐκ ἀνάγκη γίγνεσθαι συλλογισμόν), p. 563, A, 23 Brand. : Τέσσαρα οὖν αἴτια ὑπάρχουσι τὰ δεικνύντα ὅτι αἱ ἰδέαι ὑπάρχουσιν, ἀλήθεια, μονὴ καὶ μνήμη, ἀριθμός, καὶ ὁρισμός. Ἐκ μὲν οὖν τῆς ἀληθείας οὕτω κατεσκεύαζον ὅτι ὑπάρχουσιν αἱ ἰδέαι. Ἔλεγον γὰρ οὕτως ὅτι ἐνταῦθα οὐκ ἔστι καθαρὰ ἀλήθεια, ἀλλ' ἔχει μεμιγμένον τὸ ψεῦδος καὶ οὐκ ἔστιν ἀλήθεια. Ὡμολόγηται δὲ ὅτι ἔστιν ἀλήθεια· ἐὰν γὰρ μὴ ᾖ ἀλήθεια, οὐδ' ἄλλο τί ἐστιν, εἴ γε ἐκ τῆς ἀληθείας τὰ ἄλλα προέρχεται. Φανερὸν οὖν ὅτι ὑπάρχουσιν αἱ ἰδέαι· παρ' αὐταῖς γὰρ σώζεται τὸ ἀμιγὲς καὶ καθαρὸν πάντων τῶν πραγμάτων, ὥστε καὶ ἡ κυρίως ἀλήθεια. Πάλιν δέ φασιν ὅτι εἰ μή ἐστιν ἐνταῦθα μονή, μηδὲ καθαρὰ μνήμη διὰ τὸ ῥευστὸν τῆς ὕλης· ἡ γὰρ ῥεῦσις αὕτη οὐκ ἐᾷ μόνιμον εἶναι καὶ στάσιμον τὴν μνήμην· ἔστι δὲ ὁμολογουμένως καθαρὰ μνήμη καὶ εἰλικρινὴς καὶ ἄθολωτος καὶ ἀεὶ ὡσαύτως ἔχουσα, ἔστιν ἄρα ἰδέα μνήμης παρὰ τῷ δημιουργῷ, ἐπειδὴ καὶ δεῖ εἶναι τὴν ὄντως μνήμην,

---

suppositionem habuisse dicere, ostendit et primus Metaphysicorum liber et duo ab ipso compositi de Ideis libri. Fere enim has easdem ubique argumentationes transferens, quandoque in minuta secans et subdividens, quandoque vero compendiosius enuntians, tentat antiquiores se dirigere philosophos.

Hæc sunt quæ in his (*in libro XIII Metaphysicorum*) contradicit Pythagoricorum et Platonicorum speculationibus Aristoteles, quæ certe complectuntur et ea quæ in majore α' sunt dicta, ut et commentator Alexander commentatus est. Ideo et nos hæc adnotantes neque illa dereliquisse putamus, verum nec quæcunque in duobus libris de Ideis contra ipsos dixit. Fere enim etiam ibi hæc eadem repetit. Quare jure per eadem utique fuerit etiam ad illa occursus.

2.

Notandum est definitiones universalium et eorum esse quæ semper manent, ut et Aristoteles dixit in libris de Ideis, quos contra Platonis ideas conscripsit. Particularia omnia mutantur et nunquam eodem modo se habent, universalia autem immobilia et æterna sunt.

ἐξ ἧς πᾶσι τοῖς ἄλλοις τὸ εἶναι. Ἔπειτα καὶ ἐκ τῶν ἀριθμῶν. Εἰ γὰρ τὰ ἐνταῦθα πάντα ἀριθμητὰ ὑπάρχουσιν, εἰσὶ δὲ καὶ ἀριθμοὶ αὐτοὶ καθ' αὑτοὺς μετροῦντες τὰ ἀριθμητά, ἐπεὶ οὐδὲ ἀριθμητὰ ὑπάρχουσι μὴ ὄντων τῶν ἀριθμῶν τῶν ἀριθμούντων, φανερὸν ὅτι ὑπάρχουσιν ἰδέαι· οἱ γὰρ κυρίως ἀριθμοὶ οἱ μετρητικοὶ παρὰ τῷ δημιουργῷ ὑπάρχουσι. Πάλιν δὲ καὶ ἐκ τῶν ὁρισμῶν. Τὰ γὰρ ἐνταῦθα ἀόριστα ὑπάρχουσιν, οἱ δὲ κυρίως ὅροι τῶν ἀϊδίων πραγμάτων ὑπάρχουσι καὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων καὶ μὴ ποτὲ μὲν ὄντων ποτὲ δὲ μὴ ὄντων, τὰ δὲ ἐνταῦθα τοιάδε· εἰ οὖν ὑπάρχουσιν ὁρισμοί, φανερὸν ὅτι καὶ ἰδέαι ὑπάρχουσι, et Alexandro Aphrod. ib. p. 58, 26 Bonitz., qui eadem brevius : Ἢ τινας τῶν λεγομένων λόγων ὑπ' αὐτῶν ὡς τέλειον ψευδεῖς καὶ μηδὲν δεικνύντας αἰτιᾶται, οἷος εἴη ἂν ὁ λέγων, εἰ ἔστι τι τἀληθές, εἴη ἂν τὰ εἴδη· τῶν γὰρ ἐνταῦθα οὐδὲν ἀληθές· καὶ εἰ μνήμη ἔστιν, ἔστι τὰ εἴδη· ἡ γὰρ μνήμη τοῦ μένοντος. Καὶ ὁ τὸν ἀριθμὸν ὄντος εἶναι λέγων, ταῦτα δὲ οὐκ ὄντα, εἰ δέ, τῶν εἰδῶν· ἔστιν ἄρα τὰ εἴδη· ὁμοίως δὲ καὶ ὁ τοὺς ὁρισμοὺς τῶν ὄντων εἶναι λέγων, τούτων δὲ μηδὲν εἶναι. Οἱ δὲ τοιοῦτοι λόγοι ψευδεῖς τε καὶ τὸ δέον οὐδὲν δεικνύντες· διὸ τῶν μὲν τοιούτων· οὐδενὸς μνημονεύει νῦν, εὐθύνει δέ τινας τῶν δοκούντων τι δεικνύναι

3. (134.)

Alexand. Aphr. in Arist. Metaph. I, 9, 2 (Ἐξ ἐνίων δὲ καὶ οὐχ ὧν οἰόμεθα τούτων εἴδη γίγνεται. Κατά τε γὰρ τοὺς λόγους τοὺς ἐκ τῶν ἐπιστημῶν εἴδη ἔσται πάντων ὅσων ἐπιστῆμαί εἰσι, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν καὶ τῶν ἀποφάσεων, κατὰ δὲ τὸ νοεῖν τι φθαρέντος τῶν φθαρτῶν· φάντασμα γάρ τι τούτων ἐστίν), p. 59, 6 Bon. : Πλεοναχῶς μὲν ταῖς ἐπιστήμαις πρὸς τὴν τῶν ἰδεῶν κατασκευὴν προσεχρήσαντο, ὡς ἐν τῷ πρώτῳ περὶ Ἰδεῶν λέγει· ὧν δὲ νῦν μνημονεύειν ἔοικε λόγων εἰσὶ τοιοῦτοι. Εἰ πᾶσα ἐπιστήμη πρὸς ἕν τι καὶ τὸ αὐτὸ ἐπαναφέρουσα ποιεῖ τὸ αὑτῆς ἔργον καὶ πρὸς οὐδὲν τῶν καθ' ἕκαστον, εἴη ἄν τι ἄλλο καθ' ἑκάστην παρὰ τὰ αἰσθητὰ ἀΐδιον καὶ παράδειγμα τῶν καθ' ἑκάστην ἐπιστήμην γινομένων· τοιοῦτον δὲ ἡ ἰδέα. Ἔτι ὧν ἐπιστῆμαί εἰσι, ταῦτα ἔστιν· ἄλλων δέ τινων παρὰ τὰ καθ' ἕκαστά εἰσιν αἱ ἐπιστῆμαι, ταῦτα γὰρ ἄπειρά τε καὶ ἀόριστα, αἱ δὲ ἐπιστῆμαι ὡρισμένων (ita conj. Bon. pro ὡρισμένον)· ἔστιν ἄρα τινὰ παρὰ τὰ καθ' ἕκαστα, ταῦτα δὲ αἱ ἰδέαι. Ἔτι εἰ ἡ ἰατρικὴ οὐκ ἔστιν ἐπιστήμη τῆσδε τῆς ὑγιείας ἀλλ' ἁπλῶς ὑγιείας, ἔσται τις αὐτοϋγίεια· καὶ εἰ ἡ γεωμετρία μή ἐστι τοῦδε τοῦ ἴσου καὶ τοῦδε τοῦ συμμέτρου ἐπιστήμη ἀλλ' ἁπλῶς ἴσου καὶ ἁπλῶς συμμέτρου, ἔσται τι αὐτόϊσον καὶ αὐτοσύμμετρον, ταῦτα δὲ αἱ ἰδέαι. Οἱ δὴ τοιοῦτοι λόγοι τὸ μὲν προκείμενον οὐ δεικνύουσιν, ὃ ἦν τὸ ἰδέας εἶναι, ἀλλὰ δεικνύουσι τὸ εἶναί τινα παρὰ τὰ καθ' ἕκαστα καὶ αἰσθητά. Οὐ πάντως δέ, εἴ τινα ἔστιν ἅ εἰσι παρὰ τὰ καθ' ἕκαστα, ταῦτά εἰσιν ἰδέαι· ἔστι γὰρ παρὰ τὰ καθ' ἕκαστα τὰ κοινά, ὧν φαμὲν καὶ τὰς ἐπιστήμας εἶναι... Paulo post p. 59, 32 ita pergit : Χρῶνται καὶ τοιούτῳ λόγῳ εἰς κατασκευὴν τῶν ἰδεῶν. Εἰ ἕκαστος τῶν πολλῶν ἀνθρώπων ἄνθρωπός ἐστι καὶ τῶν ζώων ζῷον καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ οὐκ ἔστιν ἐφ' ἑκάστου αὐτῶν αὐτὸ αὑτοῦ τι κατηγορούμενον, ἀλλ' ἔστι τι ὃ καὶ πάντων αὐτῶν κατηγορεῖται οὐδενὶ αὐτῶν ταὐτὸν ὄν, εἴη ἄν τι τούτων παρὰ τὰ καθ' ἕκαστα ὄντα ὂν κεχωρισμένον αὐτῶν ἀΐδιον· ἀεὶ γὰρ ὁμοίως κατηγορεῖται πάντων τῶν κατ' ἀριθμὸν ἀλλασσομένων. Ὃ δὲ ἕν ἐστιν ἐπὶ πολλοῖς κεχωρισμένον τε αὐτῶν καὶ ἀΐδιον, τοῦτ' ἐστὶν ἰδέα· εἰσὶν ἄρα ἰδέαι. Τοῦτόν φησι τὸν λόγον κατασκευάζειν ἰδέας καὶ τῶν ἀποφάσεων καὶ τῶν μὴ ὄντων... p. 60, 32 : Ὁ λόγος ὁ ἀπὸ τοῦ νοεῖν κατασκευάζων τὸ εἶναι ἰδέας τοιοῦτός ἐστιν. Εἰ ἐπειδὰν νοῶμεν ἄνθρωπον ἢ πεζὸν ἢ ζῷον, τῶν ὄντων τέ τι νοοῦμεν καὶ οὐδὲν τῶν καθ' ἕκαστον, καὶ γὰρ φθαρέντων μένει ἡ αὐτὴ ἔννοια, δῆλον ὡς ἔστι παρὰ τὰ καθ' ἕκαστα καὶ αἰσθητά, ὃ καὶ ὄντων ἐκείνων καὶ μὴ ὄντων νοοῦμεν· οὐ γὰρ δὴ ὄν τι νοοῦμεν τότε. Τοῦτο δὲ εἶδός τε καὶ ἰδέα ἐστίν.

3.

Multifariam scientiis usi sunt ad asserendas ideas, ut in primo de Ideis dicit. Rationes autem, quarum hoc in loco meminisse videtur, hujusmodi sunt. Omnis scientia ad aliquid unum et idem relata, officio suo fungitur, sed non refertur ad aliquod singulare : ergo præter sensibilia aliquid est in unaquaque sempiternum et exemplar eorum quæ in quaque scientia efficiuntur; hoc autem est idea. Præterea quarum rerum scientiæ habentur, eæ res sunt; scientiæ autem aliorum quam singularium habentur, nam singularia sunt infinita et indeterminata, scientiæ vero sunt definitorum : sunt ergo aliqua præter singularia, et hæc sunt ideæ. Ad hæc medicina non est scientia hujus sanitatis, sed sanitatis simpliciter, est igitur aliqua ipsisanitas. Item geometria non est hujus æqualis et hujus commensurabilis, sed simpliciter æqualis et commensurabilis, est igitur quiddam ipsiæquale et ipsicommensurabile. Hæc porro sunt ideæ. Itaque hujusmodi rationes propositum, hoc est ideas esse non conficiunt, licet aliqua esse arguant præter singularia et sensibilia, quæ tamen non protinus sunt ideæ : nam communia, quorum scientias esse dicimus, præter singularia sunt.

Hujusmodi quoque ratione ad asserendum ideas utuntur. Si multorum hominum quisque homo est, animalium animal, quæ eadem in ceteris est ratio et nihil de se ipso dicitur, sed aliquid est diversum a singulis, quod de omnibus ipsis dicitur, aliquid igitur est præter singularia sejunctum ab ipsis et sempiternum : semper enim pariter

Φησὶ δὴ τοῦτον τὸν λόγον καὶ τῶν φθειρομένων τε καὶ ἐφθαρμένων καὶ ὅλως τῶν καθ' ἕκαστά τε καὶ φθαρτῶν ἰδέας κατασκευάζειν.

4. (135.)

Alexand. Aphr. in Ar. Metaph. l. l. § 3 (Ἔτι δὲ οἱ ἀκριβέστεροι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν οὔ φαμεν εἶναι καθ' αὑτὸ γένος, οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγουσιν), **p. 62, 12 Bon.** : Ὁ δὲ λόγος ὁ τὸν τρίτον ἄνθρωπον εἰσάγων τοιοῦτος. Λέγουσι τὰ κοινῶς κατηγορούμενα τῶν οὐσιῶν κυρίως τε εἶναι τοιαῦτα καὶ ταῦτα εἶναι τὰ ἴσα. Ἔτι τὰ ὅμοια ἀλλήλοις τοῦ αὐτοῦ τινὸς μετουσίᾳ ὅμοια ἀλλήλοις εἶναι, ὃ κυρίως ἐστὶ τοῦτο· καὶ τοῦτο εἶναι τὴν ἰδέαν. Ἀλλ' εἰ τοῦτο, καὶ τὸ κατηγορούμενον τινῶν κοινῶς, ἂν μὴ ταὐτὸν ᾖ ἐκείνων τινὶ ὧν κατηγορεῖται, ἄλλο τί ἐστι παρ' ἐκεῖνα, διὰ τοῦτο γὰρ γένος ὁ αὐτοάνθρωπος ὅτι κατηγορούμενος τῶν καθ' ἕκαστα οὐδενὶ αὐτῶν ἦν ὁ αὐτὸς, τρίτος ἄνθρωπος ἔσται τις παρά τε τὸν καθ' ἕκαστα, οἷον Σωκράτη καὶ Πλάτωνα, καὶ παρὰ τὴν ἰδέαν, ἥτις καὶ αὐτὴ μία κατ' ἀριθμόν ἐστιν. **Eadem tangit p. 62, 33** : Δείκνυται καὶ οὕτως ὁ τρίτος ἄνθρωπος. Εἰ τὸ κατηγορούμενον τινῶν πλειόνων ἀληθῶς καὶ ἔστιν ἄλλο παρὰ τὰ ὧν κατηγορεῖται, κεχωρισμένον αὐτῶν, τοῦτο γὰρ ἡγοῦνται δεικνύναι οἱ τὰς ἰδέας τιθέμενοι· (διὰ τοῦτο γάρ ἐστί τι αὐτοάνθρωπος κατ' αὐτοὺς, ὅτι ὁ ἄνθρωπος κατὰ τῶν καθ' ἕκαστα ἀνθρώπων πλειόνων ὄντων ἀληθῶς κατηγορεῖται καὶ ἄλλος τῶν καθ' ἕκαστα ἀνθρώπων ἐστίν) — ἀλλ' εἰ τοῦτο, ἔσται τις τρίτος ἄνθρωπος. Εἰ γὰρ ἄλλος ὁ κατηγορούμενος ὧν κατηγορεῖται καὶ κατ' ἰδίαν ὑφεστώς, κατηγορεῖται δὲ κατά τε τῶν καθ' ἕκαστα καὶ κατὰ τῆς ἰδέας ὁ ἄνθρωπος, ἔσται τρίτος τις ἄνθρωπος παρά τε τοὺς καθ' ἕκαστα καὶ τὴν ἰδέαν. Οὕτως δὲ καὶ τέταρτος ὁ κατά τε τούτου καὶ τῆς ἰδέας καὶ τῶν καθ' ἕκαστα κατηγορούμενος, ὁμοίως δὲ καὶ πέμπτος καὶ τοῦτο ἐπ' ἄπειρον. Ἔστι δὲ ὁ λόγος οὗτος τῷ πρώτῳ ὁ αὐτός, ἐπεὶ ἔθεντο τὰ ὅμοια τοῦ αὐτοῦ τινὸς μετουσίᾳ ὅμοια εἶναι· ὅμοιοι γὰρ οἵ τε ἄνθρωποι καὶ αἱ ἰδέαι... Τῇ μὲν οὖν πρώτῃ τοῦ τρίτου ἀνθρώπου ἐξηγήσει (**cf. Alexandr. p. 62, 12 sqq.**) ἄλλοι τε κέχρηνται καὶ Εὔδημος σαφῶς ἐν τοῖς περὶ Λέξεως, τῇ δὲ τελευταίᾳ αὐτὸς ἔν τε τῷ τετάρτῳ (**corr.** πρώτῳ) περὶ Ἰδεῶν καὶ ἐν τούτῳ μετ' ὀλίγον, **scil, § 5** : Καὶ εἰ μὲν ταὐτὸ εἶδος τῶν ἰδεῶν καὶ τῶν μετεχόντων, ἔσται τι κοινόν, **ubi hæc Alexander, p. 68, 25** : ἔστι δὲ τὸ νῦν λεγόμενον ὑπ' αὐτοῦ, ὃ ἐξηγούμενοι, τὸν τρίτον ἄνθρωπον δεύτερον ἐθήκαμεν.

Eosdem libros de Ideis sæpius respicere videtur Alexander in commentariis, quum tamen pluribus verbis utatur quam ut hîc apponi possint ad ea remittere sufficiat quæ apud illum ad Aristotelis Metaph. I, 9, 31 et 15, leguntur, p. 64, 15; 65, 14; 82, 11 Bonitz.

5. (136.)

Alexand. Aphr. in Arist. Metaph. I, 9, 6, p. 72, 13 Bon. : Ὅτι δὲ μὴ ὡς Εὔδοξος ἡγεῖτο καὶ ἄλλοι τινὲς μίξει τῶν ἰδεῶν τὰ ἄλλα, ῥᾴδιόν φησιν (**I, 9, 7**)

---

dicitur de omnibus, quæ secundum numerum commutantur. Quod autem unum est in pluribus ab ipsis sejunctum et sempiternum, hoc idea est. Sunt igitur ideæ. Ceterum hac ratione ait negationum quoque et non entium ideas esse colligi.

Ratio quæ ideas esse intelligendo arguere molitur, hujusmodi est. Quum hominem intelligimus, aut pedestre, aut animal, aliquid rerum exsistentium intelligimus, sed nullum singulare intelligimus, quum deletis singularibus eadem intelligentia maneat, ergo præter singularia et sensibilia aliquid est, quod illis vel exsistentibus vel non exsistentibus intelligimus. Hoc autem est forma et idea. Hanc ergo rationem ait intereuntium etiam atque interemptorum ad summam sensibilium et mortalium rerum ideas esse confirmare.

4.

Ratio porro qua tertius homo esse colligitur hujusmodi est. Quæ de substantiis communiter dicuntur, ea proprie talia esse aiunt, et hæc esse æqualia. Ad hæc quæ inter se similia sunt, talia esse, qua participant eodem aliquo, quod proprie hoc est, et id esse ideam. Quod si ita est, et quod de quibusdam communiter dicitur, nisi est idem quod aliquid eorum de quibus dicitur, aliquid est præter illa, nam idcirco ipsihomo genus est, quia de singularibus dicitur, et ab illorum quoque discrepat : nimirum tertius quidam homo fuerit præter singularia, ut Socratem et Platonem, et præter ideam, quæ et ipsa una numero est.

Ad hæc tertium hominem esse ad hunc modum ostenditur. Si quod de pluribus vere prædicatur aliquid est diversum ab iis de quibus prædicatur, auctores enim idearum hoc demonstrare rebantur, idcirco enim istis ipsihomo est, quia homo de pluribus singularibus hominibus vere prædicatur, ac proinde diversus a singularibus hominibus est. Si res ergo ita sese habet, profecto ut tertius homo sit, perinde fuerit consentaneum. Nam de singularibus ipsaque idea homo prædicatur, est igitur tertius homo propter singulares ipsamque ideam. Si enim qui prædicatur diversus est ab iis de quibus prædicatur et per se subsistit, homo autem de singularibus atque idea prædicatur, nimirum tertius homo fuerit a singularibus ipsaque idea diversus. Sed hac ratione quartus quoque homo esse confirmabitur qui de hoc et idea singularibusque prædicetur et item quintus et hoc in infinitum. Sed hæc ratio eadem est atque prima; quod incommodum his accidit dum similia alicujus ejusdem participatione similia

εἶναι συναγαγεῖν πολλὰ καὶ ἀδύνατα ἑπόμενα τῇ δόξῃ τῇδε. Εἴη δ' ἂν τοιαῦτα. Εἰ μίγνυνται αἱ ἰδέαι τοῖς ἄλλοις, πρῶτον μὲν σώματα ἂν εἶεν· σωμάτων γὰρ ἡ μῖξις. Ἔτι ἕξουσιν ἐναντίωσιν πρὸς ἀλλήλας· ἡ γὰρ μῖξις κατ' ἐναντίωσίν ἐστιν. Ἔτι οὕτως μιχθήσεται ὡς ἢ ὅλην ἐν ἑκάστῳ τῶν οἷς μίγνυνται εἶναι ἢ μέρος. Ἀλλ' εἰ μὲν ὅλη, ἔσται ἐν πλείοσι τὸ ἓν κατὰ τὸν ἀριθμόν· ἓν γὰρ κατὰ τὸν ἀριθμὸν ἡ ἰδέα. Εἰ δὲ πρὸς μέρος, τὸ μέρους τοῦ αὐτοανθρώπου μετέχον, οὐ τὸ αὐτοανθρώπου ἔσται ἄνθρωπος. Ἔτι διαιρεταὶ ἂν εἶεν αἱ ἰδέαι καὶ μερισταί, οὖσαι ἀπαθεῖς. Ἔπειτα ἔσται μὲν ὁμοιομερῆ, εἴγε πάντα τὰ ἔχοντά τι μέρος ἐξ αὐτοῦ ὅμοιά ἐστιν ἀλλήλοις· πῶς δὲ οἷόν τε τὰ εἴδη ὁμοιομερῆ εἶναι; οὐ γὰρ οἷόν τε τὸ μέρος τοῦ ἀνθρώπου ἄνθρωπον εἶναι, ὡς τὸ τοῦ χρυσοῦ μέρος χρυσόν. Ἔτι, ὡς καὶ αὐτὸς ὀλίγον προελθὼν λέγει (I, 9, 9), ἐν ἑκάστῳ οὐ μία ἔσται ἰδέα μεμιγμένη ἀλλὰ πολλαί· εἰ γὰρ ἄλλη μὲν ζῴου ἰδέα, ἄλλη δὲ ἀνθρώπου, ὁ δὲ ἄνθρωπος καὶ ζῷόν ἐστι καὶ ἄνθρωπος, ἀμφοτέρων ἂν μετέχοι τῶν ἰδεῶν· καὶ ὁ αὐτοάνθρωπος δὲ ἰδέα, ᾗ μὲν καὶ ζῷόν ἐστι, μετέχοι ἂν καὶ αὐτὸ τοῦ ζῴου· οὕτως δὲ οὐκέτι ἂν ἁπλαῖ αἱ ἰδέαι εἶεν, ἀλλ' ἐκ πολλῶν συγκείμεναι, καὶ αἱ μὲν αὐτῶν πρῶται, αἱ δὲ δεύτεραι. Εἰ δὲ μή εἰσι ζῷον, πῶς οὐκ ἄτοπον ἄνθρωπον λέγειν μὴ εἶναι ζῷον; Ἔτι δέ, εἰ μίγνυνται τοῖς πρὸς αὐτὰ οὖσι, πῶς ἂν ἔτι εἶεν παραδείγματα, ὡς λέγουσιν; οὐδὲ γὰρ οὕτως τὰ παραδείγματα ταῖς εἰκόσι τῆς ὁμοιότητος τῆς πρὸς αὐτὰ αἴτια τὸ μεμῖχθαι. Ἔτι τε καὶ συμφθείροιντο ἂν τοῖς ἐν οἷς εἰσι φθειρομένοις. Ἀλλ' οὐδὲ χωρισταὶ ἂν εἶεν αὐταὶ καθ' αὑτάς, ἀλλ' ἐν τοῖς μετέχουσιν αὐτῶν. Πρὸς δὲ τούτοις οὐδὲ ἀκίνητοι ἔτι ἔσονται, καὶ ὅσα ἄλλα ἐν τῷ δευτέρῳ περὶ Ἰδεῶν τὴν δόξαν ταύτην ἐξετάζων ἔδειξεν ἄτοπα ἔχουσαν. Διὰ τοῦτο γὰρ εἶπε τὸ « ῥᾴδιον γὰρ συναγαγεῖν πολλὰ καὶ ἀδύνατα πρὸς τὴν δόξαν ταύτην » (ipsius Aristotelis sunt verba l. l. Metaphys.)· ἐκεῖ γὰρ συνῆκται.

6. (136ᵃ).

Sextus Empir. adv. Mathem. III, 57 : Ἀλλ' ὅγε Ἀριστοτέλης. . . φησὶ μὴ ἀδιανόητον εἶναι τὸ ὑπὸ τούτων (sc. τῶν γεωμετρῶν) λεγόμενον μῆκος ἀπλατές, ἀλλὰ δύνασθαι χωρὶς πάσης περισκελείας εἰς ἔννοιαν ἡμῖν ἐλθεῖν. Ἵστησι δὲ τὸν λόγον ἐπί τινος ἐναργεστέρου ὑποδείγματος καὶ σαφοῦς. Τὸ γοῦν τοῦ τοίχου μῆκος, φησί, λαμβάνομεν μὴ συνεπιβάλλοντες αὐτοῦ τῷ πλατεῖ, διόπερ ἐνέσται καὶ τὸ παρὰ τοῖς γεωμέτραις λεγόμενον μῆκος χωρὶς πλάτους τινὸς ἐπινοεῖν, ἐπείπερ ὄψις τῶν ἀδήλων ἐστὶ τὰ φαινόμενα, πλανώμενος ἢ κατασοφιζόμενος ἡμᾶς . . . . προὔκειτο δὲ τῷ Ἀριστοτέλει παραστῆσαι οὐχ ὅτι τινὸς πλάτους ἀμοιρεῖ τὸ κατὰ τοὺς γεωμέτρας λεγόμενον μῆκος, ἀλλ' ὅτι παντὸς ἐστέρηται πλάτους· ὅπερ οὐκ ἀπέδειξεν. Eadem recurrunt adv. Dogm.

---

esse statuant; homines enim et ideæ similes inter se sunt... At priore quidem tertii hominis expositione, quum alii quidam tum inprimis Eudemus aperte in libro de Dictione utitur, posteriore vero ipse in libro quarto (*primo*) de Ideis, et in hoc paulo post.

5.

Jam vero Eudoxum et quosdam alios falso putasse idearum mixtione cetera constare, hinc planum fieri dicit, quum horum opinionem multa incommoda sequantur, multa etiam quæ fieri non possint. Qualia hæc sunt. Si cum ceteris rebus ideæ miscerentur, primum, ideæ corpora essent : mistio enim corporum est. Deinde oppositionem haberent inter se, quippe quum mistio per contrarietatem efficiatur. Tum ita miscerentur ut vel tota idea in singulis esset quibus misceretur, vel pars ejus. At si tota insit, efficitur ut unum numero in pluribus exsistat, quum idea unum numero sit. Sin autem pars, utique homo erit, quod participat ipsihominis parte, non quod ipsihomine participat. Ad hæc ideæ quæ pati nequeunt dividi, et partiri possent. Præterea similares essent, quum omnia quæ aliquam partem habent ex ipsâ sint inter se similia. At formæ quomodo possunt esse similares? quum fieri non possit ut pars hominis sit homo, quemadmodum pars auri aurum. Accedit quod in singulis rebus, ut ipse mox dicet in progressu, non una idea mista, sed plures habebuntur. Si enim alia est animalis, alia hominis idea, homo autem et animal est et homo, profecto homo utraque idea participabit, et ipsihomo idea quatenus animal est, ipsianimali participabit, et sic fiet ut ideæ non simplices sed ex multis constitutæ sint, et aliæ sint priores, aliæ posteriores. Sin autem non sunt animal, quomodo non esset absurdum dicere hominem non esse animal? Item si ideæ cum suis æmulis miscentur, quomodo exemplaria esse possunt, ut isti tradunt? Neque enim exemplaria miscendo suis imaginibus sunt in causa similitudinis. Præterea intereuntibus rebus in quibus habentur, ipsæ simul interciderent. Sed ne separari quidem possent et per se consistere, sed in sui participibus essent, neque essent immobiles et cetera incommoda sequerentur quæ latius persequitur in secundo libro de Ideis, dum hanc opinionem refellit. Idcirco enim dicit : « Est enim perfacile multa absurda ad hujusmodi opinionem impossibiliaque inferre »; illic enim collecta sunt.

6.

Ceterum Aristoteles dicit latitudinis expertem quæ a geometris dicitur longitudinem non esse ejusmodi, ut non possit cogitatione percipi, sed eam in nostram venire posse notionem absque ulla difficultate aut absurditate. Constituit autem rationem in quodam aperto et evidenti exemplo. Parietis, inquit, percipimus longitudinem, non simul attendentes ejus latitudinem, quare licebit

III, 412. De deperdito libro sive μαθηματικῷ sive περὶ τῆς ἐν τοῖς μαθήμασιν οὐσίας cogitabat Fabricius. De quibus tamen, præterquam quod in indicibus nominantur, nihil compertum est.

ΔΙΑΙΡΕΣΕΙΣ.

Platonem in Διαιρέσεσι affert Aristoteles de Gener. et Corrupt. II, 3, 5 : Ἅπαντες οἱ τὰ ἁπλᾶ σώματα στοιχεῖα ποιοῦντες οἱ μὲν ἕν, οἱ δὲ δύο, οἱ δὲ τρία, οἱ δὲ τέτταρα ποιοῦσιν... Οἱ δ' εὐθὺς δύο ποιοῦντες, ὥσπερ Παρμενίδης πῦρ καὶ γῆν, τὰ μεταξὺ μίγματα ποιοῦσι τούτων, οἷον ἀέρα καὶ ὕδωρ. Ὡσαύτως καὶ οἱ τρία λέγοντες, καθάπερ Πλάτων ἐν ταῖς Διαιρέσεσιν· τὸ γὰρ μέσον μῖγμα ποιεῖ. Quænam vero hæ Divisiones fuerint jam frustra quæsisse videntur antiqui philosophi interpretes. Hæc enim ad hunc locum adscripsit Joannes Philoponus fol. 50 verso : Ζητητέον δὲ ποίας καλεῖ Διαιρέσεις, ἐν αἷς διατάττειν φησὶ περὶ τούτων τὸν Πλάτωνα. Ὁ μὲν οὖν ἐξηγητὴς Ἀλέξανδρος λέγει τὰς φερομένας Πλάτωνος Διαιρέσεις νοθεύεσθαι· ὁ δ' Ἀριστοτέλης (φησὶ) περὶ τῶν ἐν τῷ Σοφιστῇ τῷ διαλόγῳ εἰρημένων λέγει, διαιρέσεις καλῶν τὰ ἐν ἐκείνῳ. Ἰστέον δὲ ὅτι πρῶτον μὲν Διαιρέσεις Πλάτωνος ὅλως ἐπιγεγραμμέναι οὐ φέρονται· ἐν δὲ τῷ Σοφιστῇ οὐδὲν φαίνεται τοιοῦτον ὁ Πλάτων λέγων οἷον εἴρηται ἐνταῦθα· οὐδὲ ἔστιν εὑρεῖν τινα αὐτοῦ (αὐτοῦ corrig.) δόξαν τοιαύτην αὐτὸν ἐκτιθέμενον· ὅλως γὰρ οὐδὲ περὶ τῶν τοιούτων ἐστὶν αὐτῷ σκοπὸς ἐκεῖ διαλεχθῆναι, πλὴν ὅτι καθ' ἱστορίαν διαφόρους δόξας φυσικῶν ἀνδρῶν ἐκτίθεται. Ἀποδεκτέον οὖν μᾶλλον ὅπερ τελευταῖον προστίθησιν ὁ Ἀλέξανδρος, φάσκων περὶ τῶν ἀγράφων δογμάτων τοῦ Πλάτωνος λέγειν τὸν Ἀριστοτέλην, ἅπερ αὐτὸς ἀπεγράψατο, καὶ ταῦτα καλεῖν Διαιρέσεις· ἐν ἐκείνοις τοίνυν ὁ Πλάτων τὸ μέγα καὶ μικρὸν καὶ τὸ μεταξὺ τούτων ὑποτίθεται.

Hæc vero vix ab Alexandro dici potuerunt, quum tria illa elementa Platonis, de quibus loquitur Aristoteles, aqua, ignis et terra sint, ita ut fortasse ita statuendum sit, Alexandrum illud tantummodo dixisse : has Διαιρέσεις inter ἄγραφα δόγματα fuisse, cetera vero ipsum Philoponum ex alio loco hausta addidisse. Easdem divisiones iterum tangere videtur philosophus in Metaphys. IV, 11, 7 : Τὰ μὲν δὴ οὕτω λέγεται πρότερα καὶ ὕστερα, τὰ δὲ κατὰ φύσιν καὶ οὐσίαν, ὅσα ἐνδέχεται εἶναι ἄνευ ἄλλων, ἐκεῖνα δὲ ἄνευ ἐκείνων μή· ᾗ διαιρέσει ἐχρήσατο Πλάτων, quæ distinctio frustra in ejus libris qui exstant quæritur. Num vero in Platonem cadant, quæ contra falsam quorumdam divisionem generum animalium ab Aristotele dicta sunt, de Partt. Animal. I, 2, 3 : Ἔτι δὲ προσήκει μὴ διασπᾶν ἕκαστον γένος, οἷον τοὺς ὄρνιθας τοὺς μὲν ἐν τῇδε, τοὺς δ' ἐν ἄλλῃ διαιρέσει καθάπερ ἔχουσιν αἱ γεγραμμέναι διαιρέσεις· ἐκεῖ γὰρ τοὺς μὲν μετὰ τῶν ἐνύδρων συμβαίνει διῃρῆσθαι, τοὺς δ' ἐν ἄλλῳ γένει, licet similia inveniantur cum in Sophista, p. 220, A, B, tum præcipue in Politico, p. 264, D, valde incertum videri poterit.

Utcumque vero de hac re statuatur (cf. Bournot, *Platonica Aristotelis opuscula*, Putbus. 1853, p. 9, Ueberweg, *über die Echtheit und Zeitfolge platonischer Schriften*, Wien, p. 153, sqq.), hoc nihil ad alteram quæstionem facit, de Aristoteli inquam adscripto libro, quem sive totum sive ex parte Platonis divisiones continentem Vitis philosophorum inseruit Diogenes Laertius. Qui quidem liber ab eo non videtur diversus fuisse quem supposititium jam habuerat Alexander, Joanne Philopono teste. In indicibus plures sunt tituli qui huc referri possunt. Præter Διαιρέσεις ιζ' enim apud Diogenem Laertium (42), nominantur Διαιρέσεις σοφιστικαὶ δ' (Diog. 29. An. 29) Διαιρετικῶν α' (D. L. 43) et Διαιρετικὸν α' (D. L. 62). Primum, ut videtur, titulum recensent catalogi arabici (Dschemalud. 51, Hadschi Khalfa, V, 136), addita divisionum enumeratione, quæ nisi quod multo minor est earum numerus, satis bene cum libello apud Diogenem Laertium servato congruit.

Illi autem collectioni quæ apud Diogenem Laertium exstat, satis similis est liber, Διαιρέσεις Ἀριστοτέλους inscriptus, qui in eodem illo codice Marciano 257 legitur, in quo et Aristotelis Vita quæ vulgo Marciana appellatur servata est. Satis mirum est illud fugisse Villoisonum Anecd. gr. t. II, p. 254, qui quum male putaret has divisiones e variis Aristotelis operibus excerptas esse, recte tamen illud animadvertit quædam adjecta esse (cf. quæ de angelis dicuntur 64), quibus librum non esse Aristotelis demonstraretur. Tali vero argu-

---

etiam quæ apud geometras dicitur longitudinem cogitare absque latitudine, quandoquidem ex his, quæ sensibus apparent, licet ea quæ non sunt evidentia perspicere. Verum errat aut fortasse sophistice nos decipit . . . propositum autem erat Aristoteli ostendere, non quod quæ a geometris dicitur longitudo est expers alicujus latitudinis, sed quod privata sit omni latitudine : quod quidem non demonstravit.

mento vix opus erat, quum præsertim in Marciana collectione multa legantur non minus Platone quam Aristotele prorsus indigna, ne dicam absurda et ridicula. Quanquam et nonnulla insunt antiquioris originis aperta indicia, inprimis vero quod de florentibus adhuc Carthaginiensium rebus et regibus cum Lacedæmoniorum tum Macedonum dictum est (cf. III et XIV), ita ut de his Divisionibus idem fortasse statuendum sit, quod et de Problematis aliisque talibus libris : collectionem cui fortasse quædam inerant ab ipso Aristotele conscripta sive ex ejus libris excerpta, postea variis modis auctam et interpolatam, in scholis Peripateticorum propagatam fuisse. Utramque collectionem dedimus, Diogenis Laertii Cobetianam recensionem secuti, Marcianam qualem e codice Rose primus edidit.

(137.)

Diogenes Laert. III, 80 : Διήρει δὲ (ὁ Πλάτων scil.), φησὶν ὁ Ἀριστοτέλης, καὶ τὰ πράγματα τοῦτον τὸν τρόπον.

I. Τῶν ἀγαθῶν ἐστι τὰ μὲν ἐν ψυχῇ, τὰ δ' ἐν σώματι, τὰ δ' ἐκτός· οἷον ἡ μὲν δικαιοσύνη καὶ ἡ φρόνησις καὶ ἡ ἀνδρεία καὶ σωφροσύνη καὶ τὰ τοιαῦτα ἐν ψυχῇ· τὸ δὲ κάλλος καὶ ἡ εὐεξία καὶ ἡ ὑγίεια καὶ ἡ ἰσχὺς ἐν σώματι· οἱ δὲ φίλοι καὶ ἡ τῆς πατρίδος εὐδαιμονία καὶ ὁ πλοῦτος ἐν τοῖς ἐκτός. Τῶν ἀγαθῶν ἄρα τρία εἴδη ἐστί· τὰ μὲν ἐν ψυχῇ, τὰ δ' ἐν σώματι, τὰ δ' ἐκτός.

Cod. Marc. 5 : Διαιρεῖται τὰ ἀγαθὰ εἰς τρία· ἔστι γὰρ αὐτῶν τὰ μὲν ἐν τῇ ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός. Ἔστι δὲ τὰ μὲν ἐν ψυχῇ φρόνησις, δικαιοσύνη, ἀνδρία, σωφροσύνη καὶ τὰ ἄλλα τὰ τοιαῦτα, τὰ δὲ ἐν σώματι ἰσχύς, κάλλος, ὑγεία, εὐεξία καὶ τὰ ἄλλα τὰ τοιαῦτα, τὰ δὲ ἐκτὸς φίλοι, πλοῦτος, εὐδοξία, πατρίδος εὐδαιμονία. Τῶν ἀγαθῶν ἄρα τὰ μέν ἐστιν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός.

Id. 56 : Τῶν ὄντων ἀγαθῶν ὁμοιότης τῶν περὶ τὴν ψυχὴν καὶ τῶν περὶ τὸ σῶμα καὶ τῶν ἐκτός ἐστιν αὕτη· τὰ μὲν οὖν πρῶτα τοῖς πρώτοις ἐστὶν ὅμοια, τὰ δὲ δεύτερα τοῖς δευτέροις, τὰ δὲ τρίτα τοῖς τρίτοις, τὰ δὲ τέταρτα τοῖς τετάρτοις· ἔστι δὲ τὰ μὲν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός. Ἡ μὲν γὰρ φρόνησις ἐν ψυχῇ οὖσα αἰτία ἐστὶ τοῦ κράτιστα τὴν ψυχὴν διακεῖσθαι, ἡ δὲ εὐεξία αἰτία ἐστὶ τοῦ τὸ σῶμα ἄριστα διακεῖσθαι· ὅπερ γὰρ βούλεται πράττει... ὁ εὐδοξῶν. Ἕκαστον ἄρα τούτων τῶν ἀγαθῶν πρωταγωνιστεῖ καὶ πρώτη [add. ταύτῃ?] λαμβάνεται ἡ ὁμοιότης. Καὶ πάλιν ἡ μὲν δικαιοσύνη ἐν ψυχῇ ἐστὶν ἡ καὶ αἰτία [inserendum videtur εὐταξίας, cf. Plat. Def. p. 411, D] οὖσα τῶν τῆς ψυχῆς μερῶν, ἡ δὲ εὐπρέπεια ἐν σώματι οὖσα εὐταξία ἐστὶ τῶν τοῦ σώματος μερῶν, ψυχροῦ καὶ θερμοῦ καὶ ξηροῦ καὶ ὑγροῦ, ἡ δὲ εὐτυχία ἐκτὸς οὖσα εὐκαιρία τίς ἐστι πραγμάτων συμπτώσεως· ὥστε ταύτῃ πάλιν παραλαμβάνεται ἡ ὁμοιότης τῶν ἀγαθῶν. Καὶ πάλιν ἡ μὲν ἀνδρεία ἐν ψυχῇ οὖσα ἰσχύς τίς ἐστι καὶ ῥώμη πρὸς φόβους καὶ τὰ τοιαῦτα, ἡ δὲ ἰσχὺς ἐν σώματι οὖσα πρὸς τοὺς πόνους καὶ τὰς κακοπαθείας ἰσχύς ἐστιν, οἱ δὲ φίλοι ἐκτὸς ὄντες ἰσχὺν τήνδε ἔχουσι πρὸς τὴν ἐκτὸς βοήθειαν· ᾧ γὰρ πολλοὶ φίλοι εἰσὶν ἰσχυρότερος οὗτος ἐν πόλει· λαμβάνεται δὲ καὶ ταύτῃ τῶν ἀγαθῶν τούτων ἡ ὁμοιότης. Καὶ πάλιν ἡ μὲν σωφροσύνη ἐν ψυχῇ οὖσα κοσμεῖ τὴν ψυχὴν καὶ συμμέτρως ζῆν ποιεῖ, τὸ δὲ κάλλος ἐν σώματι ὂν κοσμεῖ τὸ σῶμα καὶ σύμμετρον παρασκευάζει, ὁ δὲ πλοῦτος ἐκτὸς ὢν χορηγὸς καὶ κοσμητὴς τῶν ἀνθρώπων ἐστίν· καὶ ταύτῃ λαμβάνεται τῶν ἀγαθῶν τούτων ἡ ὁμοιότης.

DIVISIONES.

Distribuebat autem Plato, ut ait Aristoteles, res in hunc modum :

I. Ex bonis, inquit, quædam sunt animi, quædam corporis, alia extrinsecus : justitiam, prudentiam, fortitudinem, temperantiam et cetera id genus in animo ponebat; pulchritudinem et bonum corporis habitum, sanitatem et fortitudinem, in corpore; amicos autem et patriæ felicitatem atque divitias inter externa numerabat. Bonorum igitur esse tria genera, alia in animo, alia in corpore, alia extrinsecus.

5. Bona in tria dividuntur : sunt enim quædam eorum animi, quædam corporis, alia vero extrinsecus. Animi sunt sapientia, justitia, fortitudo, prudentia et alia id genus; corporis, vires, pulchritudo, sanitas, bonus habitus et id genus alia; externa vero amici, divitiæ, gloria, patriæ felicitas. Bonorum igitur quædam sunt animi, quædam corporis, alia vero extrinsecus.

56. Similitudo bonorum quæ sunt animi, corporis et extrinsecus hæc est : priora similia sunt prioribus, secunda secundis, tertia tertiis, quarta quartis. Quædam vero sunt animi, quædam corporis, alia vero extrinsecus. Sapientia enim quæ est animi causa est animum optime se habere, bonus vero habitus, corpus optime se habere; quodcunque enim vult facit... qui bonam consecutus est existimationem. Horum enim bonorum quodcunque primas partes agit et prima comprehenditur similitudo. Et rursus justitia in animo est quæ et causa est [bonæ descriptionis] partium animi, decens vero habitus qui in corpore est, bona descriptio est corporis partium, frigidi et

II. Diog. Laert. III, 81 : Τῆς φιλίας τρία εἴδη ἐστίν· ἡ μὲν γὰρ αὐτῆς ἐστι φυσική, ἡ δ' ἑταιρική, ἡ δὲ ξενική. Φυσικὴν μὲν οὖν ταύτην λέγομεν, ἣν οἱ γονεῖς πρὸς τὰ ἔκγονα ἔχουσι καὶ οἱ συγγενεῖς πρὸς ἀλλήλους· ταύτην δὲ κεκλήρωται καὶ τἆλλα ζῷα. Ἑταιρικὴν δὲ καλοῦμεν τὴν ἀπὸ συνηθείας γινομένην καὶ μηδὲν προσήκουσαν γένει, ἀλλ' οἷον ἡ Πυλάδου πρὸς Ὀρέστην. Ἡ δὲ ξενικὴ φιλία ἡ ἀπὸ συστάσεως καὶ διὰ γραμμάτων γινομένη πρὸς τοὺς ξένους. Τῆς ἄρα φιλίας ἡ μέν ἐστι φυσική, ἡ δ' ἑταιρική, ἡ δὲ ξενική· προστιθέασι δέ τινες τετάρτην ἐρωτικήν.

Cod. Marc. 58 : Διαιρεῖται ἡ φιλία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἡ μὲν συγγενική, ἡ δὲ ἑταιρική, ἡ δὲ ξενική, ἡ δὲ ἐρωτική. Ἔστι δὲ ἡ μὲν συγγενικὴ οἷον πατὴρ πρὸς υἱοὺς καὶ ἀδελφοὶ πρὸς ἀδελφοὺς καὶ οἱ ἄλλοι οἱ οἰκεῖοι, ἡ δὲ ἑταιρικὴ ᾗ κοινωνοῦσιν οἱ διὰ συνήθειαν φίλοι γενόμενοι, ἡ δὲ ξενικὴ ἡ διὰ γραμμάτων καὶ συστάσεως ποιοῦσα φίλους, ἡ δὲ ἐρωτικὴ ἡ δι' ἐπιθυμίας τῆς τῶν καλῶν φιλίας κοινωνίαν παρασκευάζουσα.

III. Diog. L. III, 82 : Τῆς πολιτείας ἐστὶν εἴδη πέντε· τὸ μὲν γὰρ αὐτῆς ἐστι δημοκρατικόν, ἄλλο δ' ἀριστοκρατικόν, τρίτον δ' ὀλιγαρχικόν, τέταρτον βασιλικόν, πέμπτον τυραννικόν. Δημοκρατικὸν μὲν οὖν ἐστιν ἐν αἷς πόλεσι κρατεῖ τὸ πλῆθος καὶ τὰς ἀρχὰς καὶ τοὺς νόμους δι' ἑαυτοῦ αἱρεῖται· ἀριστοκρατία δ' ἐστὶν ἐν ᾗ μήθ' οἱ πλούσιοι μήθ' οἱ πένητες, μήθ' οἱ ἔνδοξοι ἄρχουσιν, ἀλλ' οἱ ἄριστοι τῆς πόλεως προστατοῦσιν. Ὀλιγαρχία δ' ἐστὶν ὅταν ἀπὸ τιμημάτων αἱ ἀρχαὶ αἱρῶνται· ἐλάττους γάρ εἰσιν οἱ πλούσιοι τῶν πενήτων. Τῆς δὲ βασιλείας ἡ μὲν κατὰ νόμον, ἡ δὲ κατὰ γένος ἐστίν. Ἡ μὲν οὖν ἐν Καρχηδόνι κατὰ νόμον· πολιτικὴ γάρ ἐστιν· ἡ δ' ἐν Λακεδαίμονι καὶ Μακεδονίᾳ κατὰ γένος· ἀπὸ γάρ τινος γένους ποιοῦνται τὴν βασιλείαν. Τυραννὶς δ' ἐστὶν ἐν ᾗ παρακρουσθέντες ἢ βιασθέντες ὑπό τινος ἄρχονται. Τῆς ἄρα πολιτείας ἡ μέν ἐστι δημοκρατία, ἡ δ' ἀριστοκρατία, ἡ δ' ὀλιγαρχία, ἡ δὲ βασιλεία, ἡ δὲ τυραννίς. Cf. infra XIV.

Cod. Marc. 7 : Διαιρεῖται ἡ πολιτεία εἰς πέντε· ἔστι γὰρ αὐτῆς ἓν μὲν δημοκρατία, ἓν δὲ ἀριστοκρατία, ἓν δὲ ὀλιγαρχία, ἓν δὲ τυραννίς, ἓν δὲ βασιλεία. Ἔστι δὲ ἡ μὲν δημοκρατία ἐν ᾗ τὸ πλῆθος τῆς πόλεως κυριεύει, ἀριστοκρατία δὲ ἐν ᾗ οἱ κράτιστοι ἡγοῦνται μήτε διὰ γένος μήτε διὰ πλοῦτον ἀλλὰ δι' ἀρετήν, ἡ δὲ ὀλιγαρχία ἐν ᾗ τὰ τιμήματα μεγάλα ποιήσαντες ἀπὸ τούτων πολιτεύονταί τινες, ἢ δι' ἑταιρίαν βιασάμενοι τὸ πλῆθος τὴν πόλιν διοικοῦσι· τυραννὶς δὲ, ἐν ᾗ παρακρουσάμενός τις τὸ πλῆθος ἢ βιασάμενος, τὴν πόλιν διοικεῖ· βασιλεία δὲ, ὅταν ἢ κατὰ νόμον ἢ κατὰ γένεσιν βασιλεὺς τὰ πράγματα διοικῇ τῆς πόλεως. Τῆς πολιτείας ἄρα τὸ μέν ἐστι δημοκρατία, τὸ δὲ ἀρι-

---

calidi, sicci et humidi; prospera vero fortuna, quæ extrinsecus bonorum est, opportunitas quædam est rerum accidentium, ita ut sic rursus similitudo percipiatur bonorum. Et rursus vis animi constantia est quædam contra timorem et similia, robur vero corporis vis est quædam ad tolerandos labores et ærumnas, amici vero qui extrinsecus sunt hanc vim habent ad extrinsecus auxiliandum: qui enim multos habet amicos, is validior est in civitate; et ita percipitur horum bonorum similitudo. Et rursus prudentia quæ in animo est ornat animum et facit ut decenter vivamus, pulchritudo vero quæ in corpore est ornat corpus et decens efficit; divitiæ vero quæ ad externa bona pertinent præsunt hominibus et iis moderantur; et ita horum bonorum percipitur similitudo.

II. Tres esse amicitiæ species : naturalem, socialem atque hospitalem : naturalem dicimus, qua parentes erga liberos afficiuntur cognatique se mutuo diligunt : eam vero in ceteras quoque animantes esse diffusam. Socialem vocamus quam sine ullo consanguinitatis vinculo sola consuetudo conciliat, cujusmodi Pyladis et Orestis fuisse memoratur. Hospitalis est qua ex commendatione vel litteris hospitibus conjungimur. Amicitia igitur una est naturalis, alia sodalitia, alia hospitalis. Addunt nonnulli quarto loco et amatoriam.

58. Amicitia in quattuor dividitur genera. Est enim naturalis, sodalitia, hospitalis atque amatoria. Naturalis est quam pater in filios, fratres in fratres et alii cognati inter se habent. Sodalitia qua afficiuntur qui propter consuetudinem amici fiunt; hospitalis vero quæ conciliatur litteris vel commendatione. Amatoria vero est quæ ex pulchritudinis desiderio amicitiæ societatem instituit.

III. Civitatem itidem in species quinque distinxit, aliam popularem, aliam quam optimates exerceant, tertiam quæ diffundatur in paucos, regiam quartam, quintam tyrannicam. Popularem rempublicam in eis esse civitatibus in quibus summa rerum est penes populum, qui ipse et magistratus creat et fert leges : aristocraticam, ubi neque divites neque pauperes neque nobilitate vel gloria illustres dominantur, verum solum ii qui sunt in civitate optimis rebus publicis præsunt : oligarchicam, quando ex censibus magistratus eliguntur; sunt enim pauciores pauperibus divites. Regnum bifariam scindi : aliud enim secundum legem, aliud secundum genus esse. Secundum legem constare Carthaginiensium regnum; civile quippe esse : Lacedæmoniorum vero atque Macedonum secundum genus; habent enim regni successionem in aliqua familia. Tyrannidem dici, quum fraude decepti vel vi adacti cives ab aliquo reguntur. Civilium igitur rerum administratio alia est popularis, alia quam optimates exercent, alia paucorum potentia, alia regnum, alia tyrannis.

7. Civitas in quinque species dividitur : est enim alia popularis, alia quam optimates exercent, alia paucorum dominatio, alia tyrannis, alia regnum. Popularis est dominatio quum multitudo urbem gubernat, optimatium quum præstantissimi non propter genus neque propter

στοκρατία, τὸ δὲ ὀλιγαρχία, τὸ δὲ τυραννίς, τὸ δὲ βασιλεία.

IV. Diog. Laert. III, 83 : Τῆς δὲ δικαιοσύνης ἐστὶν εἴδη τρία· ἡ μὲν γὰρ αὐτῆς ἐστι περὶ θεούς, ἡ δὲ περὶ ἀνθρώπους, ἡ δὲ περὶ τοὺς ἀποιχομένους. Οἱ μὲν γὰρ θύοντες κατὰ νόμους καὶ τῶν ἱερῶν ἐπιμελούμενοι δῆλον ὅτι περὶ θεοὺς εὐσεβοῦσιν· οἱ δὲ δάνεια ἀποδιδόντες καὶ παρακαταθήκας δικαιοπραγοῦσι περὶ ἀνθρώπους· οἱ δὲ τῶν μνημείων ἐπιμελούμενοι δῆλον ὅτι περὶ τοὺς ἀποιχομένους. Τῆς ἄρα δικαιοσύνης ἡ μὲν πρὸς τοὺς θεούς ἐστιν, ἡ δὲ πρὸς ἀνθρώπους, ἡ δὲ περὶ τοὺς ἀποιχομένους.

Cod. Marc. 4 : Διαιρεῖται ἡ δικαιοσύνη εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν πρὸς τὸν θεόν, ἓν δὲ πρὸς τοὺς ἀνθρώπους, ἓν δὲ πρὸς τοὺς ἀποιχομένους. Ἔστι δὲ ἡ μὲν πρὸς τὸν θεὸν δικαιοσύνη μετ' εὐσεβείας εὐχαριστία καὶ τὰς αὐτοῦ ἐκπληροῦν ἐντολάς· ἡ δὲ πρὸς τοὺς ἀνθρώπους περὶ τὰ σύμβολα εὐνομία καὶ περὶ τὰ ἄλλα νομιζόμενα δίκαια, ἡ δὲ πρὸς τοὺς ἀποιχομένους δικαιοσύνη ἐστὶ θάπτειν καὶ τὰ ἄλλα ἐπιφέρειν. Τῆς δικαιοσύνης ἄρα ἐστὶν ἓν μὲν πρὸς τὸν θεόν, ἓν δὲ πρὸς τοὺς ἀνθρώπους, ἓν δὲ πρὸς τοὺς ἀποιχομένους.

Christianum hæc editorem sapiunt.

V. Diog. Laert. III, 84 : Τῆς ἐπιστήμης ἐστὶν εἴδη τρία· τὸ μὲν γάρ ἐστι πρακτικόν, τὸ δὲ ποιητικόν, τὸ δὲ θεωρητικόν. Ἡ μὲν γὰρ οἰκοδομικὴ καὶ ναυπηγικὴ ποιητικαί εἰσιν· ἔστι γὰρ αὐτῶν ἰδεῖν ἔργον πεποιημένον. Πολιτικὴ δὲ καὶ αὐλητικὴ καὶ κιθαριστικὴ καὶ αἱ τοιαῦται πρακτικαί· οὐ γάρ ἐστιν ἰδεῖν θεατὸν αὐτῶν πεποιημένον, ἀλλὰ πράττουσί τι· ὁ μὲν γὰρ αὐλεῖ καὶ κιθαρίζει, ὁ δὲ πολιτεύεται. Ἡ δὲ γεωμετρικὴ καὶ ἁρμονικὴ καὶ ἀστρολογικὴ θεωρητικαί· οὔτε γὰρ πράττουσιν οὔτε ποιοῦσιν οὐθέν, ἀλλ' ὁ μὲν γεωμέτρης θεωρεῖ πῶς πρὸς ἀλλήλας ἔχουσιν αἱ γραμμαί, ὁ δ' ἁρμονικὸς τοὺς φθόγγους, ὁ δ' ἀστρολογικὸς τὰ ἄστρα καὶ τὸν κόσμον. Τῶν ἄρα ἐπιστημῶν αἵ μέν εἰσι θεωρητικαί, αἱ δὲ πρακτικαί, αἱ δὲ ποιητικαί.

Cod. Marc. 8 : Διαιρεῖται ἡ ἐπιστήμη εἰς τρία· ἔστι γὰρ αὐτῆς τὸ μὲν θεωρητικόν, τὸ δὲ ποιητικόν, τὸ δὲ πρακτικόν. Ἔστι δὲ ἡ μὲν θεωρητική, ἧς τὸ κεφάλαιόν ἐστι θεωρία, οἷον ἡ γεωμετρικὴ καὶ ἀριθμητικὴ καὶ ἁρμονικὴ καὶ αἱ τοιαῦται· ἡ δὲ ποιητική, ἧς τὸ κεφάλαιόν ἐστιν ἔργου συντελεστικόν, οἷον οἰκοδομικὴ καὶ ἀνδριαντοποιητικὴ καὶ ἄλλαι τοιαῦται· ἡ δὲ πρακτική, ἧς τὸ κεφάλαιόν ἐστι πρᾶξις, οἷον ἰατρικὴ καὶ στρατηγικὴ καὶ πολιτικὴ καὶ ἄλλαι τοιαῦται. Τῆς ἐπιστήμης ἄρα ἡ μέν ἐστι θεωρητική, ἡ δὲ ποιητική, ἡ δὲ πρακτική.

Alia legitur divisio in cod. Marc. 53 : Διαιροῦνται αἱ ἐπιστῆμαι τῶν πρώτων καὶ τῶν δευτέρων εἰς τρία· εἰσὶ γὰρ αὐτῶν αἱ μὲν πρῶται, αἱ δὲ δεύτεραι, αἱ δὲ τρίται. Πρῶται μὲν οὖν εἰσὶν αἱ παρασκευαστικαί τε καὶ μεταλλευτικαὶ καὶ ὑλοτομικαὶ καὶ λιθοτομικαί, δεύτεραι δὲ αἵ τε ποιητικαὶ καὶ μετασχηματιστικαί, οἷον ἡ μὲν χαλκευτικὴ τὸν σίδηρον· τοῦτον γὰρ λαβοῦσα μετεσχημάτισε καὶ ἐποίησε χαλινοὺς καὶ ὅπλα καὶ τὰ τοιαῦτα, ἡ δὲ λιθουργικὴ τοὺς λίθους παραλαβοῦσα μετεσχημάτισε καὶ ἐποίησε τείχη καὶ οἰκίας καὶ τὰ τοιαῦτα. Πάλιν αἱ τρίται· ἡ μὲν γὰρ ἱππικὴ παραλαβοῦσα τὸν χαλινὸν ἐχρήσατο καλῶς καὶ ἡ πολεμικὴ τὰ ὅπλα καὶ ἐπὶ τῶν τοιούτων, καὶ πάλιν ἡ αὐλητικὴ παραλαβοῦσα τοὺς αὐλοὺς ἐχρήσατο καλῶς καὶ ἡ κυβερνητικὴ τοὺς οἴακας παραλαβοῦσα καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων.

---

divitias sed propter virtutem rempublicam administrant; oligarchica est ea in qua nonnulli magnis censibus institutis magistratus exercent, sive urbem gubernant multitudine per factionem oppressa. Tyrannis vero est quum aliquis sive decepta sive oppressa multitudine dominationem exercet; regnum vero est quoties rex sive lege sive origine urbis res administrat. Civitates igitur sunt aliæ democraticæ, aliæ aristocraticæ, aliæ oligarchicæ, aliæ tyrannicæ, aliæ regiæ.

IV. Justitiæ tria sunt genera : unum circa deos, alterum circa homines, tertium circa defunctos versari. Nam et qui sacra secundum leges faciunt sacrarumque rerum curam habent, religiosi in deos ac pii sunt : qui vero mutua depositaque restituunt, justi erga homines sunt; qui autem monumenta curant, justi sunt erga defunctos. Justitia igitur alia erga deos est, alia erga homines, alia erga defunctos.

4. Dividitur justitia in tria genera : unum enim est erga deum, unum erga homines, unum erga defunctos. Justitia erga deum est grati animi cum pietate significatio et omnia ejus præcepta implere. Justitia erga homines obtemperatio est legibus quæ sunt circa pactiones et alia quæ justa habentur. Justitia erga defunctos est eos sepelire aliaque tribuere. Justitiæ igitur unum genus est erga deum, alterum erga homines, tertium erga defunctos.

V. Disciplinæ tres esse species; aliam quidem in actione consistere, aliam ex operis effectu constare, tertiam speculationi studere. Nam ædium naviumque structuram ad effectricem illam pertinere : nam ex illis opus aliquod factum videmus. Politicam vero et tibiarum cantus pulsusque citharæ et hujusmodi cetera in agendo consistere : neque enim consummato actu quippiam remanet quod oculis subjectum sit, sed simpliciter agunt aliquid : alius enim tibiis, alius fidibus canit, alius rempublicam gerit. Porro geometria et musica atque astrologia sub intelligentiam cadunt et speculationi tantummodo inserviunt : neque enim vel agunt vel efficiunt quicquam, sed geometra quidem contemplatur ut sese habeant ad se invicem lineæ, musicus sonos, astrologus sidera atque mundum. Disci-

VI. Diog. Laert. III, 85 : Τῆς ἰατρικῆς ἐστιν εἴδη πέντε, ἡ μὲν φαρμακευτική, ἡ δὲ χειρουργική, ἡ δὲ διαιτητική, ἡ δὲ νοσογνωμονική, ἡ δὲ βοηθητική. Ἡ μὲν φαρμακευτικὴ διὰ φαρμάκων ἰᾶται τὰς ἀρρωστίας, ἡ δὲ χειρουργικὴ διὰ τοῦ τέμνειν καὶ καίειν ὑγιάζει, ἡ δὲ διαιτητικὴ διὰ τοῦ διαιτᾶν ἀπαλλάττει τὰς ἀρρωστίας, ἡ δὲ νοσογνωμονικὴ διὰ τοῦ γνῶναι τὸ ἀρρώστημα, ἡ δὲ βοηθητικὴ διὰ τοῦ βοηθῆσαι εἰς τὸ παραχρῆμα ἀπαλλάττει τῆς ἀλγηδόνος. Τῆς ἄρα ἰατρικῆς ἡ μέν ἐστι φαρμακευτική, ἡ δὲ χειρουργική, ἡ δὲ νοσογνωμονική, ἡ δὲ βοηθητική.

Cod. Marc. 61 : Διαιρεῖται ἡ ἰατρικὴ εἰς πέντε· τὸ μὲν γὰρ αὐτῆς ἐστι φαρμακευτικόν, τὸ δὲ χειρουργικόν, τὸ δὲ διαιτητικόν, τὸ δὲ νοσογνωμικόν, τὸ δὲ βοηθητικόν. Καὶ ἡ μὲν φαρμακευτικὴ διὰ φαρμακείας ἰᾶται τὰς ἀρρωστίας, ἡ δὲ χειρουργικὴ διὰ τοῦ τέμνειν καὶ καίειν ὑγιάζει τοὺς κάμνοντας, ἡ δὲ διαιτητικὴ διὰ τοῦ διαιτᾶν ἀπαλλάττει τῆς ἀρρωστίας, ἡ δὲ νοσογνωμικὴ διὰ τοῦ γνῶναι τὴν νόσον οὕτως ἰᾶται τὸν νοσοῦντα, ἡ δὲ βοηθητικὴ διὰ τῶν βοηθημάτων ὑγιάζει τοὺς ἀσθενοῦντας.

VII. Diog. Laert. III, 86 : Νόμου διαιρέσεις δύο· ὁ μὲν γὰρ αὐτοῦ γεγραμμένος, ὁ δ' ἄγραφος. Ὧ μὲν ἐν ταῖς πόλεσι πολιτευόμεθα, γεγραμμένος ἐστίν· ὁ δὲ κατὰ ἔθη γινόμενος οὗτος ἄγραφος καλεῖται· οἷον τὸ μὴ γυμνὸν πορεύεσθαι εἰς τὴν ἀγορὰν μηδὲ γυναικεῖον ἱμάτιον περιβάλλεσθαι. Ταῦτα γὰρ οὐδεὶς νόμος κωλύει, ἀλλ' ὅμως οὐ πράττομεν διὰ τὸ ἀγράφῳ νόμῳ κωλύεσθαι. Τοῦ ἄρα νόμου ἐστὶν ὁ μὲν γεγραμμένος, ὁ δ' ἄγραφος.

Cod. Marc. 20 : Διαιρεῖται ὁ νόμος εἰς δύο· ἔστι γὰρ αὐτοῦ ἓν μὲν γεγραμμένον, ἓν δὲ ἄγραφον. Ἔστι δὲ ὁ μὲν γεγραμμένος καθ' ὃν τὰ σύμβολα συναλλάσσομεν καὶ τὰς ἄλλας πρὸς ἀλλήλους πράξεις διακρίνομεν καὶ πάντα τὰ τοιαῦτα οἰκονομοῦμεν· ὁ δὲ ἄγραφος καθ' ὃν τὰ ἔθη ἐν ταῖς πόλεσιν αὔξεται καὶ διαμένει.

VIII. Diog. Laert. III, 86: Ὁ λόγος διαιρεῖται εἰς πέντε, ὧν εἷς μέν ἐστιν ὃν οἱ πολιτευόμενοι λέγουσιν ἐν ταῖς ἐκκλησίαις, ὃς καλεῖται πολιτικός· ἑτέρα δὲ διαίρεσις λόγου ὃν οἱ ῥήτορες γράφουσι καὶ εἰς ἐπίδειξίν τε προφέρουσι καὶ εἰς ἐγκώμια καὶ ψόγους καὶ κατηγορίας· τὸ δὴ τοιοῦτον εἶδός ἐστι ῥητορικόν. Τρίτη δὲ διαίρεσις λόγου ὃν οἱ ἰδιῶται διαλέγον-

---

plinæ igitur aliæ theoreticæ sunt, aliæ practicæ, aliæ effectivæ.

8. Disciplina dividitur in tres species. Una enim est quæ studet speculationi, altera quæ opus efficit, tertia quæ in actione constat. Theoretica illa est cujus caput est speculatio, sicut geometria, arithmetica, musica et hujusmodi reliquæ. Effectivæ caput est opus efficere ut ædium structura et statuaria et quæ sunt similes. Practicæ caput actio est, ut medicina, ars imperatoria et politica et aliæ tales. Disciplinæ igitur aliæ theoreticæ sunt, aliæ practicæ, aliæ effectivæ.

Athen. VII. 303, D : Θυννίς... Ἀριστοτέλης δ' ἐν τῷ [περὶ Ζωικῶν ἢ] Ἰχθύων ἀγελαῖον καὶ ἐκτοπιστικὸν εἶναι τὴν θυννίδα. Similia leguntur H. An. VIII, 13, 2.

21 (257).

Athen. III, 88, B : Ἀριστοτέλης δ' ἐν τῷ περὶ Ζώων (corrig. Ζωικῶν). « Ὄστρεα, φησί, πίννη, ὄστρεον, μῦς, κτείς, σωλήν, κόγχη, λεπάς, τῆθος, βάλανος. Πορευτικὰ δὲ κῆρυξ, πορφύρα, ἡδυπορφύρα, ἐχῖνος, στράβηλος. Ἔστι δ' ὁ μὲν κτεὶς τραχυόστρακος ῥαβδωτός, τὸ δὲ τῆθος ἀρράβδωτον λειόστρακον, ἡ δὲ πίννη λεπτόστομον, τὸ δὲ ὄστρεον παχύστομον, δίθυρον δὲ καὶ λειόστρακον, λεπὰς δὲ μονόθυρον καὶ λειόστρακον, συμφυὲς δὲ μῦς, μονοφυὲς δὲ καὶ λειόστρακον σωλὴν καὶ βάλανος, κοινὸν δ' ἐξ ἀμφοῖν κόγχη. »

22 (258).

Athen. VII, 318, E : Εἴδη δ' ἐστὶ πολυπόδων ἐλεδώνη, πολυποδίνη, βολβιτίνη, ὀσμύλος, ὡς Ἀριστοτέλης ἱστορεῖ καὶ Σπεύσιππος. Ἐν δὲ τῷ περὶ Ζωικῶν Ἀριστοτέλης μαλάκιά φησιν εἶναι πολύποδας, ὀσμύλην, ἐλεδώνην, σηπίαν, τευθίδα.

23 (259).

Athen. VII, 318, B : Ἐν δὲ τῷ περὶ Ζωικῶν καὶ [corr. ἢ] Ἰχθύων (Ἀριστοτέλης). « Πολύπους, φησί, τὶς ὁ μὲν τρεψίχρως, ὁ δὲ ναυτίλος. »

24 (260).

Athen. VII, 281, F : Ἀριστοτέλης δ' ἐν τῷ περὶ Ζώων (corr. Ζωικῶν) μονάκανθον εἶναι καὶ κιρρὸν τὸν ἀλφηστικόν.

25 (261).

Athen. VII, 277, E : Ταύτας (τὰς ἀμίας scil.) Ἀριστοτέλης ἱστορεῖ τὰ μὲν βράγχια ἔχειν καλυπτά, εἶναι δὲ καρχαρόδοντας καὶ τῶν συναγελαζομένων καὶ σαρκοφάγων, χολήν τε ἔχειν ἰσομήκη τῷ ἐντέρῳ καὶ σπλῆνα ὁμοίως. Λέγεται δὲ ὡς θηρευθεῖσαι προσανάλλονται καὶ ἀποτρώγουσαι τὴν ὁρμιὰν ἐκφεύγουσιν. Ib. 278, A : Ἀριστοτέλης δὲ παρετυμολογῶν αὐτῆς τοὔνομά φησιν ὠνομάσθαι παρὰ τὸ ἅμα ἰέναι ταῖς παραπλησίαις· ἔστι γὰρ συναγελαστική.

Eadem Etymol. M. p. 83, 37. Etymologia, cujus Aristoteles non meminit H. An. I, 1, 10 ubi locus fuerat, rursus memoratur apud Athen. VII, p. 324, D et Plutarch. de Solert. animal. c. 30.

26 (262).

Athen. VII, 284, F : Τῆς δ' ἀφύης ἐστὶ γένη πλείω. Καὶ ἡ μὲν ἀφρῖτις λεγομένη οὐ γίνεται ἀπὸ γόνου, ὥς φησιν Ἀριστοτέλης, ἀλλ' ἐκ τοῦ ἐπι-

---

Encrasicholorum meminit Aristoteles ut minutorum pisciculorum, in libro de Zoicis.

20.

Aristoteles in libro de Zoicis vel Piscibus gregalem piscem esse thynnidem scribit et locum mutare.

21.

Aristoteles in libro de Animalibus (immo Zoicis) ait : « Ostreorum genera : pinna, ostreum, musculus, pecten, solen, concha, lepas, tethos, glans. Quæ vero huc illuc vaga progrediuntur : buccinum, purpura, hedyporphyra, echinus, strabelus. Est vero pecten testa opertus aspera, virgata : tethos testa lævi, nullis distincta virgis : pinnæ os tenuius est; ostreo crassius : et est ostreum bivalve, testa lævi; patella vero univalvis, testa lævi. Cohærentibus testis constat musculus : in unam concreta, eaque lævi, solen et glans : communis ex ambobus naturæ est concha. »

22.

In libro de Zoicis Aristoteles mollusca ait esse, polypodes, osmylen, heledonen, sepiam, loliginem.

23.

In libro de Zoicis sive Piscibus Aristoteles dicit : « Polypus alius qui cutem mutat, alius nautilus. »

24.

Aristoteles in libro de Zoicis, unicam spinam habere, et fulvi esse coloris alphesticum dicit.

25.

Amias, Aristoteles tradit, habere branchias tectas, dentes vero serratos : esseque ex genere gregalium piscium et carnivororum : fel eis esse longitudine par intestino, pariterque splenem. Captas, narrant, sursum prosilire, arrosaque linea aufugere... Aristoteles nominis rationem reddens, ait dictas esse amias, eo quod simul (ἅμα) cum sui similibus eant. Nam gregatim is piscis degit.

26.

Aphyæ plura sunt genera. Et ea quidem, quæ aphritis vocatur, non nascitur e semine, ut ait Aristoteles, sed ex spuma (ἀφρῷ) mari innatante, quum illa multis imbribus incidentibus concrescit.

πολάζοντος τῇ θαλάσσῃ ἀφροῦ, ὅταν ὄμβρων γενομένων πολλῶν σύστασις γένηται. In Aristotelis H. An. VI, 15, 3 loco qui conferri potest, nomen ἀφρῖτις non legitur.

27 (263).

Athen. VII, 294, D : Γαλεοί... Ἀριστοτέλης δὲ εἴδη αὐτῶν φησιν εἶναι πλείω, ἀκανθίαν, λεῖον, ποικίλον, σκύμνον, ἀλωπεκίαν, ῥίνην... Ὁ δ' Ἀριστοτέλης ἐν πέμπτῳ Ζώων Μορίων (corr. περὶ Ζωικῶν, cf. infra fr. 37) καὶ κεντρίνην φησί τινα γαλεὸν εἶναι καὶ νωτιδανόν... Ἰδίως δὲ ὁ ἀκανθίας τὴν καρδίαν ἔχει πεντάγωνον. Τίκτει δ' ὁ γαλεὸς τὰ πλεῖστα τρία καὶ εἰσδέχεται τὰ γεννηθέντα εἰς τὸ στόμα καὶ πάλιν ἀφίησι, μάλιστα δ' ὁ ποικίλος καὶ ὁ ἀλωπεκίας· οἱ δὲ λοιποὶ οὐχ ἔτι διὰ τὴν τραχύτητα. Ultima ex Aristotelis Hist. An. desumpta videntur, cf. V, 10, 7; 11, 9.

28 (264).

Athen. VII, 298, B : Ἀριστοτέλης δὲ χαίρειν φησὶ τὰς ἐγχέλεις καθαρωτάτῳ ὕδατι. Ὅθεν τοὺς ἐγχελυοτρόφους καθαρὸν αὐταῖς ἐπιχεῖν· πνίγεσθαι γὰρ ἐν τῷ θολερῷ· διὸ καὶ οἱ θηρεύοντες θολοῦσι τὸ ὕδωρ ἵν' ἀποπνίγωνται. Λεπτὰ γὰρ ἔχουσαι τὰ βράγχια αὐτίκα ὑπὸ τοῦ θολοῦ τοὺς πόρους ἐπιπωματίζονται. Ὅθεν κἂν τοῖς χειμῶσιν ὑπὸ τῶν πνευμάτων ταραττομένου τοῦ ὕδατος ἀποπνίγονται. Ὀχεύονται δὲ συμπλεκόμεναι, κἆτ' ἀφιᾶσι γλοιῶδες ἐξ αὐτῶν, ὃ γενόμενον ἐν τῇ ἰλύι ζωογονεῖται. Λέγουσι δὲ οἱ ἐγχελυοτρόφοι καὶ ὡς νυκτὸς μὲν νέμονται, ἡμέρας δ' ἐν τῇ ἰλύι ἀκινητίζουσι, ζῶσί τε τὸ ἐπὶ πολὺ ἐπὶ ὀκτὼ ἔτη. Ἐν ἄλλοις δὲ πάλιν Ἀριστοτέλης ἱστορεῖ... (scil. in Hist. An.).

Horum maxima pars, nec tamen omnia, præsertim quæ de generatione referuntur, in H. An. inveniuntur, ubi cf. VIII, 2, p. 149, 57, 150, 23, 26. Cf. præterea Oppian. Halieut. I, 516 sqq. Ad Zoica spectant fortasse quæ addit paulo post Athenæus l. l. p. 299, C : Ἀριστοτέλης δ' ἐν τοῖς περὶ Ζώων (ita in codice Marc. teste Rosio non ἐν τοῖς περὶ Ζώων Μορίων) διὰ τοῦ ι ἔγχελις εἴρηκεν.

29 (265).

Athen. VII, 300, E : Ἐρυθρῖνος. Ἀριστοτέλης ἐν τῷ περὶ Ζώων (corr. Ζωικῶν) καὶ Σπεύσιππος παραπλήσιά φησιν εἶναι φάγρον, ἐρυθρῖνον, ἧπατον.

30 (266).

Athen. VII, 301, C : Ἥπατος... Ἔστι δὲ μονήρης, ὥς φησιν Ἀριστοτέλης, σαρκοφάγος τε καὶ καρχαρόδους, τὴν χροιὰν μὲν μέλας, ὀφθαλμοὺς δὲ μείζονας ἢ καθ' αὑτὸν ἔχων, καρδίαν τρίγωνον λευκήν. « Mendum subesse ultimis verbis atque legendum esse καρδίαν τρίγωνον, ἧπαρ λευκόν, optime exposuit Rondelet *de Piscib.* p.148-49. » *Rosius.*

31 (267).

Athen. VII, 282, D : Ἀνθίας, κάλλιχθυς... Ἀριστοτέλης δὲ καὶ καρχαρόδοντα εἶναι (φησὶ) τὸν κάλλιχθυν σαρκοφάγον τε καὶ συναγελαζόμενον.

32 (268).

Ælian. de Nat. anim. XIII, 4 : Ἀκούσαις δ' ἂν ἁλιέων καὶ ἰχθύων τινὰ καλλιώνυμον οὕτω λεγόντων. Καὶ ὑπὲρ αὐτοῦ Ἀριστοτέλης λέγει ὅτι ἄρα ἐπὶ

27.

Aristoteles quinto libro de Partibus Animalium (*immo* de Zoicis) etiam centrinem in galeorum numero nominat et notidanum... Singulare vero hoc habet acanthias, quod cor ei sit quinquangulare. Parit autem galeus ut plurimum fœtus tres : natosque in os recipit rursusque emittit; præsertim is qui varius vel variegatus nominatur et qui alopecias. Reliqui vero non item propter asperitatem.

28.

Aristoteles vero gaudere ait anguillas aqua purissima ideoque hos, qui anguillas alunt, limpidam eis adfundere; suffocari enim turbidis. Quamobrem aquam turbant qui eas piscantur. Tenues enim illis branchiæ sunt, quarum meatus statim obturantur cœno : quamobrem aquis vi tempestatum conturbatis suffocantur. Coëunt complexæ se mutuo : deinde emittunt ex se glutinosum quiddam : quod, postquam in limo fuit, vitam concipit, ut animalia inde nascantur. Narrant etiam qui anguillas alunt, noctu eas pasci, interdiu vero in limo immotas manere. Vivunt autem ut plurimum ad octo annos.

29.

Aristoteles in libro de Animalibus (immo Zoicis) et Speusippus similes inter se esse tradunt phagrum, erythrinum, hepatum.

30.

Hepatus est solitarius, ut dicit Aristoteles, et carnivorus, et dentibus serratis, colore niger : oculos autem majores habet quam pro corporis magnitudine; cor triangulare, album.

31.

Aristoteles tradit, serratos dentes habere callichthyn et esse carnivorum et gregalem.

32.

De piscatoribus audies, ex piscibus quendam esse nomine callionymum. Huic Aristoteles ait in dextra jecoris

τοῦ λοβοῦ τοῦ δεξιοῦ καθημένην ἔχει χολὴν πολλήν, αὐτῷ δὲ τὸ ἧπαρ κατὰ τὴν λαιὰν φορεῖται πλευράν.

Ex his pars tantum legitur in Hist. An. II, 15, 7. Cf. Plin. Hist. nat. XXXII, 24 : *Callionymi fel cicatrices sanat... Nulli hoc piscium copiosius, ut existimavit Menander quoque in comœdiis. Idem piscis et uranoscopos vocatur ab oculo quem in capite habet.*

33 (269).

Athen. VII, 307, A : Ἀριστοτέλης δ' ἐν πέμπτῳ Μορίων (H. An. V, 11, 6)... Ἐν δ' ἄλλοις φησὶν ὁ Ἀριστοτέλης· « Ὁ κεστρεὺς καρχαρόδους ὢν οὐκ ἀλληλοφαγεῖ, ἅτε δὴ οὐδ' ὅλως σαρκοφαγῶν. Ἔστι δὲ ὁ μέν τις κέφαλος, ὁ δὲ χελλών, ὁ δὲ φεραῖος. Καὶ ὁ μὲν χελλὼν πρὸς τῇ γῇ νέμεται, ὁ δὲ φεραῖος οὔ. Καὶ τροφῇ χρῆται ὁ μὲν φεραῖος τῇ ἀφ' αὐτοῦ γενομένῃ μύξῃ, ὁ δὲ χελλὼν ἄμμῳ καὶ ἰλύϊ. Λέγεται δὲ καὶ ὅτι τὸν γόνον τῶν κεστρέων οὐδὲν τῶν θηρίων κατεσθίει, ἐπεὶ οἱ κεστρεῖς οὐδένα τῶν ἰχθύων. »

Cf. H. An. VIII, 4, 2 : Ἀλληλοφαγοῦσι δὲ πάντες μὲν πλὴν κεστρέως, μάλιστα δὲ οἱ γόγγροι... Ἔστι δὲ ὁ μὲν κέφαλος, ὃν καλοῦσί τινες χελῶνα, πρόσγειος· ὁ δὲ παρείας (περαίας Bekk. παρέας v. l. παρδίας Plut. de Sol. An. c. 9 ex Arist.) οὔ· βόσκεται δ' ὁ παρείας τὴν ἀφ' αὑτοῦ μύξαν· διὸ καὶ νῆστίς ἐστιν ἀεί. Οἱ δὲ κέφαλοι νέμονται τὴν ἰλύν· διὸ καὶ βαρεῖς καὶ βλεννώδεις εἰσίν, ἰχθὺν δ' ὅλως οὐκ ἐσθίουσιν... τὸν δὲ γόνον αὐτῶν οὐδὲν ἐσθίει τῶν θηρίων, διὸ γίνονται πολλοί.

34 (270).

Athen. VII, 305, F : Ἀριστοτέλης ἐν τῷ περὶ Ζῴων (corr. Ζωικῶν) ἢ Ἰχθύων· « Ὁ κίθαρος, φησί, καρχαρόδους, μονήρης, φυκοφάγος, τὴν γλῶτταν ἀπολελυμένος, καρδίαν λευκὴν ἔχων καὶ πλατεῖαν. » Citharì semel mentio occurrit H. An. II, 17, p. 33, 49.

35 (271).

Athen. VII, 306, B : Κόρδυλος. Τοῦτον Ἀριστοτέλης φησὶν ἀμφίβιον εἶναι καὶ τελευτᾶν ὑπὸ τοῦ ἡλίου αὐανθέντα. Cf. Hesych. s. v. Κορδύλος.

36 (272).

Athen. VII, 309, A : Κυπρῖνος. Τῶν σαρκοφάγων καὶ οὗτος, ὡς Ἀριστοτέλης ἱστορεῖ, καὶ συναγελαστικῶν. Τὴν δὲ γλῶτταν οὐχ ὑπὸ τῷ στόματι, ἀλλ' ὑπὸ τὸ στόμα κέκτηται (ita cod. Marc.).

« Ultima hæc de lingua neque sensum ullum habent (ut ait Rondelet, non integrum esse locum Athenæi statuens, *Aquatil. Hist. part. alt.* Lugd. 1555, p. 152, cf. Schneider, *Hist. Piscium*, p. 7), et ad emendandum sunt impeditissima, cf. Schweigh. Animadv. t. IV, p. 306 ss. » *Rosius*. Cf. H. An. IV, 8.

37 (273).

Athen. VII, 310, E : Λάβρακες. Οὗτοι, ὡς Ἀριστοτέλης ἱστορεῖ, μονήρεις εἰσὶ καὶ σαρκοφάγοι. Γλῶσσαν δ' ἔχουσιν ὀστώδη καὶ προσπεφυκυῖαν, καρδίαν τρίγωνον. Ἐν δὲ πέμπτῳ Ζῴων Μορίων... (H. A. V, 10, 11, p. 83, 7, 14). Interpositis quibusdam ex Hicesio desumptis, ita de nominis etymologia pergit Athenæus l. l. F : Ὠνομάσθη δ' ὁ ἰχθὺς παρὰ τὴν λαβρότητα. Λέγεται δέ, ὅτι καὶ συνέσει τῶν ἄλλων ἰχθύων διαφέρει, ἐπινοητικὸς ὢν τοῦ διασώζειν ἑαυτόν, quæ et ipsa fortasse in Zoicis legebantur.

38 (274).

Athen. VII, 312, C : Μύραιναι.. Ἀριστοτέλης δὲ ἐν πέμπτῳ Ζῴων Μορίων ἐκ μικροῦ φησὶν αὐτὴν ταχεῖαν τὴν αὔξησιν λαμβάνειν καὶ εἶναι καρχαρόδουν· τίκτειν τε πᾶσαν ὥραν μικρὰ ᾠά.

---

fibra copiosum fel situm esse, jecur autem ad lævum latus collocatum esse.

33.

In aliis dicit Aristoteles : « Mugil, licet dentes habeat serratos, alios non vorat pisces; quippe ne carne quidem omnino vescitur. Est autem alius cephalus, alius chellon, alius pheræus. Et chellon quidem prope terram pascitur, pheræus vero non item. Et alimento utitur pheræus quidem muco qui ex ipso exit : chellon vero arena et cœno. Dicunt etiam, fœtum mugilem a nullo alio piscium genere vorari, quia nec ipsi aliis piscibus vescuntur. »

34.

Aristoteles in libro de Zoicis vel Piscibus ait : « Citharus serratis dentibus est, solitarius, alga vescitur, linguam habet solutam, cor album et latum. »

35.

Cordylum Aristoteles ait amphibium esse et mori exsiccatum a sole.

36.

Cyprinus. Est hic quoque ex carnivoris, ut tradit Aristoteles, et ex gregalibus. Habet autem linguam non in ore, sed post os.

37.

Labraces (*seu* Lupi). Hi, ut tradit Aristoteles, solitarii sunt et carnivori. Linguam habent osseam et adhærentem; cor triangulare.

38.

Aristoteles quinto libro de Partibus Animalium scribit e parvula celeriter incrementum capere murænam, et esse

Non ad quintum H. An. hunc locum pertinere arbitratus est Rosius, sed ad librum περὶ Ζωικῶν, quum l. l. V, 10, 3 verba καὶ εἶναι καρχαρόδουν non leguntur. Notandum est præterea, codd. aliquot et ed. Venet. Athenæi et hic et supra p. 304, C, ubi idem plane Aristotelis locus respici videtur, non ἐν πέμπτῳ sed ἐν δευτέρῳ Z. M. habere.

39 (275).

Athen. VII, 314, C : Ἔστι δὲ ἡ νάρκη, ὥς φησιν Ἀριστοτέλης, τῶν σελαχωδῶν καὶ τῶν σκυμνοτοκούντων. Θηρεύει δ' εἰς τροφὴν ἑαυτῆς τὰ ἰχθύδια προσαπτομένη καὶ ναρκᾶν καὶ ἀκινητίζειν ποιοῦσα. Cf. H. A. II, 13, p. 28, 24.

40 (276).

Athen. VII, 314, E : Ξιφίας. Τοῦτον Ἀριστοτέλης φησὶν ἔχειν τοῦ ῥύγχους τὸ μὲν ὑποκάτω μικρόν, τὸ δὲ καθύπερθεν ὀστῶδες μέγα, ἴσον τῷ ὅλῳ αὐτοῦ μεγέθει· τοῦτο δὲ καλεῖσθαι ξίφος. Ὀδόντας δ' οὐκ ἔχειν τὸν ἰχθύν. De his nihil apud Aristotelem. De dentibus cf. Ælian. N. An. XIV, 23.

41 (277).

Athen. VII, 315, E: « Ὄνος, φησὶν Ἀριστοτέλης ἐν τῷ περὶ Ζωικῶν, ἔχει στόμα ἀνερρωγὸς ὁμοίως τοῖς γαλεοῖς· καὶ οὐ συναγελαστικός. Καὶ μόνος οὗτος ἰχθύων τὴν καρδίαν ἐν τῇ κοιλίᾳ ἔχει, καὶ ἐν τῷ ἐγκεφάλῳ λίθους ἐμφερεῖς μύλαις. Φωλεύει τε μόνος ἐν ταῖς ὑπὸ κύνα θερμοτάταις ἡμέραις, τῶν ἄλλων ταῖς χειμεριωτάταις φωλευόντων. » De his ultima tantum modo memorat Aristoteles Hist. An. VIII, 15, 4. Eodem fonte quo Athenæus, usus est Ælianus de Nat. An. VI, 30, qui et alia quædam præterea addidit : Ὁ ἰχθὺς ὁ ὄνος τὰ μὲν ἄλλα ὅσα ἐντὸς προσπέφυκεν, οὐ πάνυ τι τῶν ἑτέρων διεστῶτα κέκτηται, μονότροπος δέ ἐστι καὶ σὺν ἄλλοις βιοῦν οὐκ ἀνέχεται. Ἔχει δὲ ἄρα ἰχθύων μόνος οὗτος ἐν τῇ γαστρὶ τὴν καρδίαν, καὶ ἐν τῷ ἐγκεφάλῳ λίθους οἵπερ οὖν ἐοίκασι μύλαις τὸ σχῆμα. Σειρίου δὲ ἐπιτολῇ φωλεύει μόνος, τῶν ἄλλων ἐν ταῖς κρυμωδεστάταις (ἡμέραις) φωλεύειν εἰθισμένων. Cf. ib. V, 20 : Ὄνος ὁ θαλάττιος ἐν τῇ γαστρὶ τὴν καρδίαν ἔλαχεν ἔχειν, ὡς οἱ δεινοὶ τὰ τοιαῦτα ὁμολογοῦσιν ἡμῖν καὶ διδάσκουσιν.

Clemens Alexandr. Pædag. II, 1, 18, p. 65 Sylburg. : Τὸν νοῦν ἐγκατορύξας τῇ κοιλίᾳ, τῷ ἰχθύι τῷ καλουμένῳ ὄνῳ τὰ μάλιστα ἐοικώς, ὅν δή φησιν Ἀριστοτέλης μόνον τῶν ἄλλων ζώων ἐν τῇ γαστρὶ τὴν καρδίαν ἔχειν, quæ ex eodem fonte excerpta esse quo Athenæus usus sit, Epicharmi, qui hunc piscem ἐκτραπελόγαστρον appellat, loco demonstrari, similiter apud utrumque Aristoteleis subjuncto, apte observavit Rosius. Apuleius de Magia c. 40 : *Quod* Aristoteles *si scisset, nunquam profecto omisisset, qui aselli piscis solius omnium in medio alvo corculum situm pro maximo memoravit.*

42 (278).

Athen. VII, 315, A : Ὀρφώς... Ἀριστοτέλης δὲ ἐν πέμπτῳ Ζῴων Μορίων ταχεῖαν λέγων γίνεσθαι τοῖς ἰχθύσι τὴν αὔξησιν, καὶ ὀρφώς, φησίν, ἐκ μικροῦ γίνεται μέγας ταχέως (hæc in H. An. V, 10, 5 leguntur). Ἔστι δὲ καὶ σαρκοφάγος (H. An. VIII, 2, p. 148, 53) καὶ καρχαρόδους, ἔτι δὲ καὶ μονήρης. Ἴδιον δ' ἐν αὐτῷ ἐστι τὸ τοὺς θορικοὺς πόρους μὴ εὑρίσκεσθαι καὶ τὸ δύνασθαι πολὺν χρόνον ζῆν μετὰ τὴν ἀνατομήν. Ἔστι δὲ καὶ τῶν φωλευόντων (Hist. An. VIII, 15, 1) ἐν ταῖς χειμεριωτάταις ἡμέραις· χαίρει τε πρόσγειος (H. An. VIII, 13, 1) μᾶλλον ὢν ἢ πελάγιος. Ζῇ δ' οὐ πλέον δύο ἐτῶν.

Quæ non in Hist. An. leguntur ex alio opere Zoicorum desumpta esse, omissa tamen mentione

---

dentibus serratis, parereque quovis anni tempore minuta ova.

39.

Est autem torpedo, ut dicit Aristoteles, e genere piscium cartilagineorum, eorumque qui vivos pariunt catulos. Venatur autem sibi pro pabulo pisciculos, quos dum attingit, ita torpere facit ut immobiles maneant.

40.

Xiphias (*sive* gladius). Hunc Aristoteles scribit inferiorem rostri partem habere brevem; superiorem vero, osseam longam, toti corpori longitudine parem : hanc vero partem gladium vocari : dentibus autem carere hunc piscem.

41.

Asinus, ait Aristoteles in libro de Zoicis, habet os late patens, sicut galei : non est gregalis : et unus hic e piscibus cor in ventre habet; in capite vero lapides, molaribus similes. Estque etiam unus qui se abscondat calidissimis caniculæ diebus, quum alii latitent diebus maxime hiemalibus.

42.

Aristoteles libro quinto de Animalium Partibus, ubi dicit celeriter incrementum capere pisces, ait, orphum etiam celeriter ex parvo magnum fieri. Est autem et carnivorus et serratis dentibus instructus. Porro vivit solitarius. Habet autem hoc proprium, quod nulla in eo genituræ via reperiatur, et quod diu etiam vivat postquam dissectus est. Est vero etiam ex eis qui latitant diebus maxime hiemalibus : amatque magis loca litori vicina, quam altum mare. Non vivit autem ultra biennium.

satis probabiliter conjecit Rosius hîc et in sequenti fragmento. Similis est locus apud Ælianum de Nat. An. V, 18 : Ὁ ὀρφὼς θαλάττιον ζῷόν ἐστι, καὶ εἰ ἕλοις καὶ ἀνατέμοις, οὐκ ἂν ἴδοις τεθνεῶτα παραχρῆμα αὐτόν, ἀλλὰ ἐπιλαμβάνει τῆς κινήσεως καὶ οὐκ ἐπ' ὀλίγον. Διὰ χειμῶνος δὲ ἐν τοῖς φωλεοῖς οἰκουρῶν χαίρει· διατριβαὶ δὲ ἄρα αἱ πρὸς τῇ γῇ μᾶλλον φίλαι αὐτῷ. Cf. Oppian. Halieut. I, 142 sq.

43 (279).

Athen. VII, 321, E : Σάλπη... Ἀριστοτέλης δ' ἐν πέμπτῳ Ζώων Μορίων ἅπαξ τίκτειν φησὶν αὐτὴν τοῦ μετοπώρου (H. An. V, 9, p. 82, 27, VI, 17, p. 119, 38). Ἔστι δὲ πολύγραμμος καὶ ἐρυθρόγραμμος, ἔτι δὲ καρχαρόδους καὶ μονήρης. Λέγεσθαι δὲ καὶ ὑπὸ τῶν ἁλιέων φησὶν ὡς καὶ κολοκύντῃ θηρεύεται χαίρουσα τῷ βρώματι.

44 (280).

Athen. VII, 329, A : Ἀριστοτέλης δ' ἐν πέμπτῳ Ζώων Ἱστορίας (Μορίων corr. Casaub.) σαρδίνους αὐτὰς (τὰς ἐριτίμους scil.) καλεῖ.

Pro σαρδίνους Meinekius σαργίνους, qui nominantur semel in H. An. IX, 2, p. 175, 10. Nusquam vero alius nisi quintus Historiarum liber ab Athenæo, scil. titulo ἐν πέμπτῳ Μορίων, citatur.

45 (281).

Athen. VII, 319, E : Σκάρος. Τοῦτον Ἀριστοτέλης φησὶ καρχαρόδοντα εἶναι καὶ μονήρη καὶ σαρκοφάγον, ἔχειν τε στόμα μικρὸν καὶ γλῶτταν οὐ λίαν προσπεφυκυῖαν, καρδίαν τρίγωνον, ἧπαρ λευκὸν (ita Rondel. *de Piscib.* p. 166, pro παράλευκον) τρίλοβον, ἔχειν τε χολὴν καὶ σπλῆνα μέλανα, τῶν δὲ βραγχίων τὸ μὲν διπλοῦν τὸ δὲ ἁπλοῦν. Μόνος δὲ καὶ τῶν ἄλλων ἰχθύων μηρυκάζει· χαίρει δὲ τῇ τῶν φυκίων τροφῇ· διὸ καὶ τούτοις θηρεύεται. Ἀκμάζει δὲ θέρους.

Hæc magnam partem in Hist. An. sed non uno loco leguntur, e quibus, iis quæ II, 13, p. 28, 51 leguntur, usus est Rondeletius, l. l. ut apud Athenæum ante καρχαρόδοντα, οὐ adderet. Cf. præterea ibid. v. 36, VII, 2, p. 149, 43.

46 (282).

Athen. VII, 320, E : Τίκτει δ' ὁ σκορπίος δίς, ὥς φησιν Ἀριστοτέλης ἐν πέμπτῳ Ζώων Μορίων (H. An. V, 9, p. 82, 25) ...Ὅτι δὲ καὶ πληκτικός ἐστιν Ἀριστοτέλης ἱστορεῖ ἐν τῷ περὶ Ἰχθύων ἢ Ζωικῶν.

47 (283).

Athen. VII, 324, D : Τὴν δὲ τρίγλην φησὶν Ἀριστοτέλης τρὶς τίκτειν τοῦ ἔτους ἐν πέμπτῳ Ζώων Μορίων (H. An. V, 9, p. 82, 23), τεκμαίρεσθαι λέγων τοὺς ἁλιεῖς τοῦτο ἐκ τοῦ γόνου τρὶς φαινομένου περί τινας τόπους· μήποτ' οὖν ἐντεῦθέν ἐστι καὶ τὸ τῆς ὀνομασίας, ὡς ἀμίαι ὅτι οὐ κατὰ μίαν φέρονται ἀλλ' ἀγεληδόν, σκάρος δὲ ἀπὸ τοῦ σκαίρειν καὶ καρίς, ἀφύαι δ' ὡς ἂν ἀφυεῖς οὖσαι, τουτέστι δυσφυεῖς, θύω, θύννος ὁ ὁρμητικὸς διὰ τὸ κατὰ τὴν τοῦ κυνὸς ἐπιτολὴν ὑπὸ τοῦ ἐπὶ τῆς κεφαλῆς οἴστρου ἐξελαύνεσθαι. Ἔστι δὲ καρχαρόδους, συναγελαστική, παντόστικτος, ἔτι δὲ σαρκοφάγος. Τὸ δὲ τρίτον τεκοῦσα ἄγονός ἐστι· γίνεται γάρ τινα σκωλήκια αὐτῇ ἐν τῇ ὑστέρᾳ, ἃ τὸν γόνον τὸν γινόμενον κατεσθίει.

Etymologiæ nominum (cf. supra fragm. 25) ex Aristophane Byzantio fluxisse videntur, quod ostendit Artemidorus Oneirocr. II, 14 : Τρίγλη. Αὕτη δὲ γυναιξὶν ἀτέκνοις ἐστὶν ἀγαθή· τρὶς γὰρ κύει. Ὅθεν αὐτῇ καὶ τοὔνομα εἰκότως φασὶ κεῖσθαι καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ Ζώων (l. l.) καὶ Ἀριστοφάνης ἐν τοῖς εἰς Ἀριστοτέλην Ὑπομνήμασι.

43.

Aristoteles quinto libro de Partibus Animalium salpam semel parere dicit autumno. Est autem multis virgis, eisque rubris striata, dentibus serratis et solitaria. Tradit idem narrare piscatores, amare eum cucurbita vesci et ea esca capi solere.

44.

Aristoteles quinto Historiarum Animalium (?) sardinos vocat eritimos.

45.

Scarum Aristoteles dentes habere serratos dicit esseque solitarium et carnivorum : os habere parvum et linguam non nimis adhærescentem, cor triangulare, jecur album, trilobum : habere fel et splenem nigrum et branchiarum unam duplicem, alteram simplicem. Solus autem hic ex omnibus piscibus ruminat. Gaudet alga vesci; quare et hac eum venantur. Viget æstate.

46.

Pungendo scorpium lædere, tradit Aristoteles in libro de Piscibus sive Zoicis.

47.

Mullus (*ut Aristoteles dicit?*) est dentibus instructus serratis, gregalis, totus punctis maculosus; ad hæc carnivorus. Postquam tertium peperit, fit sterilis : nascuntur enim in ejus utero vermiculi quidam, qui conceptum fœtum devorant.

48 (284).

Athen. VII, 327, C : Φάγρος... Ἀριστοτέλης δὲ σαρκοφάγον φησὶν αὐτὸν εἶναι καὶ μονήρη καρδίαν τε ἔχειν τρίγωνον ἀκμάζειν τε ἔαρος.

(ΠΕΡΙ ΜΑΛΑΚΙΩΝ.)

49 (285).

Athen. VII, 316, C : Ἱστορεῖ δ' Ἀριστοτέλης τὸν πολύποδα ἔχειν πόδας ὀκτώ, ὧν τοὺς μὲν ἄνω δύο καὶ κάτω ἐλαχίστους, τοὺς δ' ἐν μέσῳ μεγίστους· ἔχειν δὲ καὶ κοτυληδόνας δύο, αἷς τὴν τροφὴν προσάγεσθαι· τοὺς δ' ὀφθαλμοὺς ἐπάνω τῶν δύο ποδῶν (corr. ὀδόντων, ex A. H. An. IV, 1, p. 56, 53)· τὸ δὲ στόμα καὶ τοὺς ὀδόντας ἐν μέσοις τοῖς ποσίν. Ἀναπτυχθεὶς δὲ ἐγκέφαλον ἔχει διμερῆ· ἔχει δὲ καὶ τὸν λεγόμενον θολόν, οὐ μέλανα καθάπερ σηπία, ἀλλ' ὑπέρυθρον, ἐν τῷ λεγομένῳ μήκωνι· ὁ δὲ μήκων κεῖται ἐπάνω τῆς κοιλίας οἱονεὶ κύστις· σπλάγχνον δ' οὐκ ἔχει ἀναλογοῦν. Τροφῇ δὲ χρῆται ἔστιν ὅτε καὶ τοῖς τῶν κογχυλίων σαρκιδίοις, τὰ ὄστρακα ἐκτὸς τῶν θαλαμῶν ῥίπτων· ὅθεν διαγινώσκουσιν οἱ θηρεύοντες. Ὀχεύει δὲ συμπλεκόμενος καὶ πολὺν χρόνον πλησιάζει, διὰ τὸ ἄναιμος εἶναι. Τίκτει δὲ διὰ τοῦ λεγομένου φυσητῆρος, ὅς ἐστι πόρος τῷ σώματι, καὶ τίκτει ᾠὰ βοτρυδόν.

Hæc omnia, exceptis iis quæ de atramenti colore et de coitu narrantur, in H. An. leguntur, sed multis locis dispersa, cf. IV, 1, p. 56, 10, 17, 53; VIII, 2, p. 148, 42; V, 6, p. 80, 22, c. 12 p. 83, 45, ita ut jure Athenæum non ex ipsis Historiis Animalium, sed ex opere quodam ex illis maximam partem excerpto, hausisse putes.

50 (286).

Athen. VII, 317, F : Ὁ δὲ ναυτίλος καλούμενος, φησὶν Ἀριστοτέλης, πολύπους μὲν οὐκ ἔστιν, ἐμφερὴς δὲ κατὰ τὰς πλεκτάνας· ἔχει δὲ τὸ νῶτον ὀστρακόδερμον. Ἀναδύνει δὲ ἐκ τοῦ βυθοῦ ἐφ' ἑαυτὸν ἔχων τὸ ὄστρακον, ἵνα μὴ τὴν θάλασσαν ἕλκη· ἐπαναστραφεὶς δ' ἐπιπλεῖ ἄνω ποιήσας δύο τῶν πλεκτανῶν, αἳ μεταξὺ αὐτῶν λεπτὸν ὑμένα ἔχουσι διαπεφυκότα, ὡς καὶ τῶν ὀρνίθων οἱ πόδες ὁρῶνται μεταξὺ τῶν δακτύλων δερμάτινον ὑμένα ἔχοντες· ἄλλας δὲ δύο πλεκτάνας καθίησιν εἰς τὴν θάλασσαν ἀντὶ πηδαλίων. Ὅταν δέ τι προσιὸν ἴδῃ, δείσας συστέλλει τοὺς πόδας καὶ πληρώσας αὐτὸν τῆς θαλάσσης κατὰ βυθοῦ ὡς τάχος χωρεῖ.

Ab hac narratione, cui similis est quæ legitur in Oppiani Halicut. I, 338 sqq., paulum differunt, quæ apud Aristotelem, Hist. An. IX, 37, p. 193, 21, exstant.

51 (287).

Athen. VII, 323, C : Τὴν σηπίαν δὲ Ἀριστοτέλης φησὶ πόδας ἔχειν ὀκτώ, ὧν τοὺς ὑποκάτω δύο μεγίστους, προβοσκίδας δύο, καὶ μεταξὺ αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ στόμα. Ἔχει δὲ καὶ ὀδόντας δύο, τὸν μὲν ἄνω τὸν δὲ κάτω, καὶ τὸ λεγόμενον ὄστρακον ἐν τῷ νώτῳ. Ἐν δὲ τῇ μύτιδι ὁ θολός ἐστιν· αὕτη δὲ κεῖται παρ' αὐτὸ τὸ στόμα κύστεως τρόπον ἐπέχουσα. Ἔστι δ' ἡ κοιλία πλακώδης καὶ λεία, ὁμοία τοῖς τῶν

48.

Aristoteles carnivorum esse ait phagrum et solitarium : habereque cor triangulare et vigere vere.

(DE MOLLUSCIS.)

49.

Narrat Aristoteles, polypodem octo habere pedes : quorum duo supremi duoque infimi, minimi, medii autem maximi. Habere autem etiam duo acetabula, quibus cibum ori admoveat : oculos vero supra duobus dentibus : os autem et dentes, in pedum medio. Dissectus et explicatus, cerebrum habere deprehenditur bipartitum. Habet vero etiam atramentum quod dicitur, sicuti sepia; nec vero illud nigrum, sed rubescens : inestque in ea parte, quæ mecon sive papaver dicitur. Situm est autem papaver supra ventrem veluti vesica. Intestinum vero aliis piscibus simile non habet. Cibo utitur quum alio, tum subinde carne conchularum, quarum testas extra cubile suum projicit; quo signo eos adesse intelligunt qui venantur. Coit complexu, longoque tempore coitum absolvit, quoniam exsanguis est. Parit autem per fistulam, quæ dicitur, qui est corporis meatus. Ova autem parit racematim.

50.

Qui nautilus vocatur, inquit Aristoteles, is polypus quidem non est, sed brachiis ei similis. Hujus dorsum testa tegitur. Emergit autem e profundo, testam supra se habens, ne aquam illa trahat : deinde conversus, innatat supinus aquæ, sublatis duobus e suis brachiis, inter quæ tenuis internata membrana distenditur; qualis est illa coriacea membrana, quam in avium nonnullorum pedibus inter digitos extentam videmus : duo autem alia brachia in mare demittit, quæ sunt ei pro gubernaculis. Ubi vero aliquid adversus se videt accedere, metuens contrahit pedes, et aqua testam implens, celeriter in profundum abit.

51.

Sepiam vero, Aristoteles scribit, pedes habere octo, quorum duo infimi maximi; proboscides duas et inter

βοῶν ἠνύστροις. Τρέφονται δὲ αἱ μικραὶ σηπίαι τοῖς λεπτοῖς ἰχθυδίοις, ἀποτείνουσαι τὰς προβοσκίδας ὥσπερ ὁρμιὰς καὶ ταύταις θηρεύουσαι. Λέγεται δὲ ὡς, ὅταν ὁ χειμὼν γένηται, τῶν πετριδίων ὥσπερ ἀγκύραις ταῖς προβοσκίσι λαμβανόμεναι ὁρμοῦσι. Διωκομένη τε ἡ σηπία τὸν θολὸν ἀφίησι καὶ ἐν αὐτῷ κρύπτεται ἐμφήνασα φεύγειν εἰς τοὔμπροσθεν. Λέγεται δὲ ὡς καὶ θηρευθείσης τῆς θηλείας τριόδοντι οἱ ἄρρενες ἐπαρήγουσιν ἀνθέλκοντες αὐτήν· ἂν δ' οἱ ἄρρενες ἁλῶσιν, αἱ θήλειαι φεύγουσιν. Οὐ διετίζει δ' ἡ σηπία, καθάπερ οὐδ' ὁ πολύπους. Ἐν δὲ πέμπτῳ Ζῴων Μορίων· « Αἱ σηπίαι, φησί, quæ ad H. An. V, 6, p. 80, 17 et ib. c. 12, p. 33, 37 spectant.

Athenæum exscripsit Eustathius in Iliad. p. 950, 3. Nihil vero in his est quod non ex Aristotele compilatum sit, præter illud tamen quod de usu acetabuli narratur, de quo ex Aristotele habet etiam Plutarchus de Solertia anim. c. 27 : Ὠ σοφίσματι καὶ τὴν σηπίαν χρῆσθαί φησιν ὁ Ἀριστοτέλης· καθίησι γὰρ ὥσπερ ὁρμιὰν ἀπὸ τοῦ τραχήλου πλεκτάνην, μηκύνεσθαί τε πόρρω χαλώσης καὶ πάλιν συντρέχειν εἰς ἑαυτὴν ἀναλαμβανούσης, ῥᾷστα πεφυκυῖαν· ὅταν οὖν τι τῶν μικρῶν ἰχθυδίων ἴδῃ πλησίον, ἐνδίδωσι δακεῖν καὶ κατὰ μικρὸν ἀναμηρύεται λανθάνουσα καὶ προσάγεται, μέχρις ἂν ἐν ἐφικτῷ τοῦ στόματος γένηται τὸ προσχόμενον. Cf. Oppiani Halieut. II, 120 sqq.

52 (288).

Athen. VIII, 326, B : Τευθίς. Ἀριστοτέλης εἶναί φησι καὶ ταύτην τῶν συναγελαζομένων, ἔχειν τε τὰ πλεῖστα τῆς σηπίας, τὸν τῶν ποδῶν ἀριθμόν, τὰς προβοσκίδας. Τῶν δὲ ταύτης ποδῶν οἱ μὲν κάτω μικροί εἰσιν οἱ δ' ἄνω μείζους, καὶ τῶν προβοσκίδων ἡ δεξιὰ παχυτέρα, καὶ τὸ ὅλον σωμάτιον τρυφερὸν καὶ ὑπομηκέστερον. Ἔχει δὲ καὶ θολὸν ἐν τῇ μύτιδι οὐ μέλανα ἀλλ' ὠχρόν, καὶ τὸ ὄστρακον μικρὸν λίαν καὶ χονδρῶδες.

53 (289).

Athen. l. l., D, ita pergit : Τεῦθος. Ὁ δὲ τεῦθος μόνῳ τούτῳ διαφέρει τῷ μεγέθει· γίνεται δὲ καὶ τριῶν σπιθαμῶν. Τὸ δὲ χρῶμά ἐστιν ὑπέρυθρος, καὶ τῶν ὀδόντων τὸν μὲν κάτω ἐλάττονα ἔχει τὸν δὲ ἄνω μείζονα, ἄμφω δὲ μέλανας καὶ ὁμοίους ῥύγχει ἱέρακος. Ἀναπτυχθεὶς δὲ κοιλίαν ἔχει ὁμοίαν ταῖς ὑείαις. Ἐν δὲ πέμπτῳ Μορίων (H. An. V, 18, p. 92, 49). Cf. H. An. IV, 1, p. 56, 43.

54 (289[b]).

Apollonius Mirab. c. 27 : Ἀριστοτέλης ἐν τοῖς Ζωικοῖς (δύο γάρ εἰσιν αὐτῷ πραγματεῖαι, ἡ μὲν περὶ Ζῴων, ἡ δὲ περὶ τῶν Ζωικῶν). « Οἱ φθεῖρες, φησίν, ἐν τῇ κεφαλῇ, ἐν ταῖς μακραῖς οὐ φθίνουσι νόσοις, μελλόντων τελευτᾶν τῶν πασχόντων, ἀλλ' ἐπὶ τὰ προσκεφάλαια εὑρίσκονται, προλελοιπότες τὴν κεφαλήν. » Cf. quæ tribuuntur Alexandro Aphrod. Problem. II, 30 : Διὰ τί ἐν τῷ ἀπόλλυσθαι οἱ φθεῖρες ἀφίστανται ἐν οἷς ἂν ὦσι τόποις; ὅτι δέονται καὶ θάλψεως καὶ τροφῆς ἐκ τοῦ αἵματος, τοῦτο δὲ καὶ καταψύχεται καὶ ἐκδαπανᾶται. Ζητοῦντες οὖν ἕτερον τόπον ὅμοιον τοῦ προτέρου ἀφίστανται.

---

pedes et proboscides oculos et os. Habet vero etiam dentes duos, alterum supra, alterum infra : et testam, quæ vocatur, in dorso. In mytide, quæ vocatur, inest atramentum : sita est ea prope os, vesicæ rationem habens. Alvus in latitudinem patens et lævis : similis boum omasis. Vescuntur autem parvæ sepiæ minutos pisciculos, extendentes proboscides veluti lineas piscatorias, atque earum ope prædam venantes. Aiunt porro, incidente tempestate, sepias proboscidibus veluti ancoris minuta saxa prehendere, atque ita veluti in statione quiescere. Quum sepiam persequitur venator, atramentum suum illa emittit, in eoque se occultat, antrorsum se profugere simulans. Narrant quoque ubi feminam sepiam furca jam prehendit venator, mares subsidio ei venire, eamque retrahere : sin mares capti sint, profugere feminas. Vita sepiæ bimatum non transit, non magis quam polypi.

Cujus arte (piscis scilicet qui piscator vocatur) etiam sepiam, uti Aristoteles scribit. A collo suo demittit acetabulum instar funiculi quo hamus dependet, quod et laxatum longe emitti, et facillime retrahi in se potest : id pisciculis, quos prope se videt, mordendum exhibet, paullatimque in se retrahens fraude ad se prædam adducit, dum ore contingere possit.

52.

Loliginem quoque docet Aristoteles e gregalibus esse, habereque plurima cum sepiis communia, pedum numerum, proboscides. Huic duo pedes inferiores minores sunt ; superiores vero majores, et proboscis dextra crassior : totum vero corpusculum delicatius et magis oblongum. Habet autem humorem quem solet emittere in mytide (*sive* vesica) non atrum, sed luridum : et testam parvam admodum et cartilagineam.

53.

Lolius vero a loligine non differt nisi magnitudine : excrescit enim ad tres spithamas. Est autem colore subrufo, et dentem inferiorem minorem habet, superiorem vero majorem : ambo autem nigros et similes rostro accipitris. Aperta alvus similis est ventriculo suillo.

54.

Aristoteles in Zoicis, sive opere de iis quæ ad animalia pertinent (duo enim sunt ejus opera, unum de animalibus, alterum de iis quæ ad animalia pertinent) pediculos

55 (290).

Apollonius Mirab. c. 28 : Ἀριστοτέλης ἐν τοῖς Ζωικοῖς· « Ὁ ῥύπος, φησίν, ἐν τοῖς ὠταρίοις γιγνόμενος πικρὸς ὤν, ὅταν τελευτᾶν μέλλωσιν ἐν ταῖς μακραῖς νόσοις γλυκὺς γίνεται. » Τοῦτο δέ, φησίν, παρατετήρηται ἐπὶ πολλῶν γιγνόμενον. Ἀποδέδωκε δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἐν τοῖς φυσικοῖς προβλήμασιν. Cf. Arist. Probl. XXXII, 4 : Διὰ τί ὁ ἐν τοῖς ὠσὶ ῥύπος πικρός ἐστιν; ἢ διότι ἱδρὼς ἐστι σαπρός· ἔστιν οὖν ἁλμυρὸν σαπρόν, τὸ δὲ σαπρὸν ἁλμυρὸν πικρόν.

56 (291).

Eustathius in Iliad. p. 117, 20 : Ὅθεν καὶ ζῷα δυτικὰ παρ' Ἀριστοτέλει τὰ καθ' ὕδατος δυόμενα.

57 (292).

Eustath. in Iliad. p. 481, 35 : Τάχα καθ' ὁμοιότητα τοῦ ὀπτητὸν ὀπτὸν εἴρηται παρ' Ἀριστοτέλει καὶ ἑρπτὸν τὸ ἑρπετόν. Cf. in Odyss. p. 1502, 54 : Ὅρα δὲ τὰ ἑρπετὰ ὡς καὶ τὰ ἑρπηστικὰ (corr. ἑρπυστικὰ), οὐχ ἀπὸ τοῦ ἕρπω βαρυτόνου παρηγμένα οὗ παράγωγον τὸ ἑρπετὸν κατὰ Ἀριστοτέλην, ἀλλ' ἀπὸ περισπωμένου ἀῤῥήτου τοῦ ἑρπῶ, ἵνα ᾖ ὡς τελῶ τελέσω τελεστόν, οὕτως ἑρπῶ ἑρπέσω ἑρπεστόν, καὶ ἐκδρομῇ τοῦ σ ἑρπετόν.

Vix puto rectum esse quod suspicatus erat Lobeckius v. cl. in *Pathologiæ græci sermonis elementis*, t. I, p. 247, malis codicibus deceptum esse Eustathium, immo hunc et quem supra attulimus locum e Zoicis duxit, in quibus et alia multa fuisse vocabula ab Aristotele aliena, jam dictum est. Apud genuinum Aristotelem in Hist. An. I, 1 et de Partibus animal. IV, 10, ἑρπυστικόν legitur; ἑρπετόν vero Mirab. Auscult. c. 115; IV, p. 96, 18, et 130, p. 99, 34 et de Coloribus c. 6, item de Mundo c. 7.

XIV. (ΕΞ ΑΔΗΛΩΝ ΠΕΡΙ ΖΩΩΝ ΒΙΒΛΙΩΝ.)

Superest satis magnus fragmentorum numerus, in quibus varia de animalibus traduntur, fabulosa pleraque et falsa, partim etiam Aristotele prorsus indigna, quæ tamen nullo modo ad Zoicorum libros referri possunt. Unde vero petita sint, id ne conjectura quidem satis certo indicari potest, nisi quod jure suspiceris, pleraque non ex ipsius Aristotelis libris desumpta esse, sed e Mirabilium quadam collectione, eaque multo quam quæ inter philosophi libros servata est, ampliori. De qua tamen cave accipias quod apud Stephanum Byz. v. Γελωνοί in codicibus legitur : ὡς Ἀριστοτέλης πέμπτῳ περὶ θαυμασίων ἀκουσμάτων, ubi pro πέμπτῳ, scribendum esse ἐν τῷ optime perspexit v. cl. E. Miller, *Journal des Savants*, a. 1840, p. 4. Patet igitur horum omnium locorum non majorem esse auctoritatem quam totius istius farraginis, quæ Mirabilium Auscultationum nomine inscribitur, in qua etsi quædam latent e genuinis libris philosophi excerpta, plura tamen dubia sunt, nonnulla etiam manifesto post Aristotelis ætatem conscripta (cf. Westermann, præfat. in *Paradoxograph.* p. XXV). Quanquam vero ita facile fieri potuit, ut, quæ aliorum erant, Aristoteli tribuerentur, dubito tamen an satis firmis argumentis probari possit, id quod Rosius sibi persuasit, in hisce omnibus Aristotelis et Theophrasti nomina ubique confusa esse, ita ut potius inter Theophrasteorum scriptorum reliquias hæc fragmenta reponenda essent. Ne enim illud tantum modo objiciam, Aristotelem et Theophrastum interdum conjunctim nominari, ut apud auctorem Geoponicorum (cf. infra fr. 7), nullam video causam, cur non multa eorum quæ jam Aristoteles, sive verus, sive falsus narraverat, a Theophrasto quoque in suas collectiones referri potuerint. Neque illud prætereundum est, satis magnam fortasse partem talium mirabilium a posterioribus ex opere de Rebus publicis et e Nomimis barbaris excerpta fuisse. De hac vero re pluribus infra videndum erit.

Locos Æliani de Nat. animal. V, 14 et Antigoni Mirabil. c. 20 et 25, qui sunt fragmenta 317, 322, 323 apud Rosium, in sequentibus consulto omisimus, quum iisdem verbis legantur in Mirabil. Auscult. c. 25, 30, 66.

---

capitis tradit in longis morbis non tabescere interituris ægrotis, sed inveniri in pulvinaribus, ad quæ desertis capitibus ægrotorum transeant.

55.

Aristoteles in Zoicis sordes tradit quæ in auribus nascuntur, quum sint alioquin amaræ, morituris fieri dulces : idque in multis esse observatum. Et causam rei exponit in Quæstionibus naturalibus.

56.

Animalia δυτικὰ apud Aristotelem vocantur quæ aquam subeunt.

57.

Apud Aristotelem ἑρπτόν (i. e. *reptile*) vocatur quod alibi ἑρπετόν.

1 (293).

Ælian. de Nat. Anim. XVI, 33 : Ἀριστοτέλης γε μήν φησι τῶν βοῶν τῶν ἐν Νεύροις (codd. Λευκτροῖς) ἐκπεφυκέναι τὰ κέρατα καὶ τὰ ὦτα ἔκφυσιν τὴν αὐτὴν καὶ εἶναι συνυφασμένα.

Paulo aliter ib. V, 27 : Τοὺς δὲ ἐν Νεύροις βοῦς Ἀριστοτέλης φησὶν ἐπὶ τῶν ὤμων ἔχειν τὰ κέρατα.

2 (294).

Ælianus l. l. XVI, 33, ita pergit : Ὁ δὲ αὐτὸς ἐν χώρῳ τινὶ Λιβύων τὰς αἶγας τοῦ στήθους φησὶ τοὺς μαζοὺς ἔχειν ἀπηρτημένους.

3 (295).

Ælianus l. l. : Εἴη δ' ἂν τοῦ παιδὸς τοῦ Νικομάχου καὶ ταῦτα· ἐν τοῖς περὶ τὸν Σκαρίσκον (v. l. καρίσκον) Βουδινοῖς (codd. Βουδιανοῖς) οἰκοῦσιν οὐ γίνεσθαί φησι πρόβατον λευκόν, ἀλλὰ μέλανα πάντα.

Cf. ib. III, 32 : Οἶς δὲ Βουδινὰς (ita corr. codd. l. Ἀβυδηνάς) οὐκ ὄψει λευκάς, ὥς φασι, μελαίνας δὲ πάσας.

4 (296).

Ælianus de Nat. An. V, 8 : Ἀριστοτέλης ὄφεσιν ἐχθρὰν τὴν Ἀστυπαλαιέων γῆν λέγει, καθάπερ καὶ τὴν Ῥήνειαν ταῖς γαλαῖς ὁ αὐτὸς ὁμολογεῖ ἡμῖν. Κορώνῃ δὲ εἰς τὴν Ἀθηναίων ἀκρόπολιν οὐκ ἔστιν ἐπιβατά. Ἡμιόνων δὲ τὴν Ἦλιν μητέρα οὐκ ἐρεῖς, ἢ τὸ λεχθὲν ψεῦδός ἐστιν.

Cf. Antigon. Hist. mirab. c. 11 : Ἐν Ἀστυπαλαίᾳ δὲ ὄφεις οὐ γίνονται... οὐδὲ ἐν Ῥηνείᾳ τῇ πρὸς Δήλῳ γαλῆ. Ib. c. 12 : Ἀμελησαγόρας δὲ ὁ Ἀθηναῖος ὁ τὴν Ἀτθίδα συγγεγραφὼς οὔ φησι κορώνην προσιπτασθαι πρὸς τὴν ἀκρόπολιν, οὐδ' ἔχοι ἂν εἰπεῖν ἑωρακὼς οὐδείς. Ἀποδίδωσι δὲ τὴν αἰτίαν μυθικῶς. Φησὶ γάρ κτλ.

Cf. Fragm. Hist. gr. ed. Müller. t. II, p. 21. Apollon. Mirab. c. 8 : Ἄνδρων ἐν τῇ δ' τῶν πρὸς Φίλιππον θυσιῶν. Κορώνη ἐν τῇ Ἀττικῇ εἰς τὴν ἀκρόπολιν οὐδεμία ἑώραται εἰσερχομένη. Antig. Hist. mir. c. 13 : Οὐδὲ κατὰ τὴν Σκυθῶν χώραν, ὁμοίως δὲ οὐδὲ κατὰ τὴν Ἠλείαν ἡμίονος οὐ γεννᾶται. Cf. Herodot. IV, 30. Arist. Hist. An. VIII, 28. Ceterum hæc fortasse in Rebuspublicis narrata erant, unde in collectiones Mirabilium translata sunt.

5 (297).

Antigon. Hist. mir. c. 19 : Ὁ δὲ Ἀριστοτέλης καὶ ἐκ τῶν σισυμβρίων φησὶ σαπέντων σκορπίους γίνεσθαι.

Idem de ocimo referunt Plinius Hist. Nat. XX, 48 ; Galenus t. VI, p. 640 ed. Lips.; Geoponica XI, 28, 3.

6 (298).

Ælian. de Nat. Anim. IV, 57 : Ἀριστοτέλης λέγει τὸν ὑπὸ ὕδρου πληγέντα παραχρῆμα ὀσμὴν βαρυτάτην ἀπεργάζεσθαι, ὡς μὴ οἷόν τε εἶναι προσπελάσαι αὐτῷ τινά· λήθην τε καταχεῖσθαι τῷ πληγέντι ὁ αὐτὸς λέγει καὶ μέντοι καὶ ἀχλὺν κατὰ τῶν ὀμμάτων πολλὴν καὶ λύτταν ἐπιγίνεσθαι καὶ τρόμον εὖ μάλα ἰσχυρὸν καὶ ἀπόλλυσθαι διὰ τρίτης αὐτόν. Cf. Nicandri Theriaca v. 424 sqq.

7 (299).

Schol. in Theocrit. VII, 22 : Σαῦρος : Ἀρσενικῶς ὁ σαῦρος. Λέγεται καὶ θηλυκῶς ἡ σαῦρα. Φησὶ δὲ Ἀριστοτέλης περὶ τοῦ ζῴου τούτου ὅτι ξηραινόμενον εἰς ἔχιν μεταβάλλεται.

Cf. Geoponica XV, 1, 21 : Θεόφραστος καὶ Ἀριστοτέλης φασὶ τὰ ζῷα οὐ μόνον ἐξ ἀλλήλων

1.

Aristoteles ait apud Neuros boum cornua atque aures ex una stirpe cognata et simul contexta esse.

Boves apud Neuros cornua in humeris habere Aristoteles auctor est.

2.

Aristoteles narrat, in loco quodam Libyæ caprarum ubera a pectore rependere.

3.

Et hoc tradit filius Nicomachi, apud Budinos Scariscum accolentes albam ovem nullam nasci, sed nigras omnes esse.

4.

Aristoteles auctor est, terram circa Astypylæam serpentibus adversariam esse, et similiter Rheneam mustelis. Cornix in arcem Atheniensium nunquam conscenderit. Muli in Eleo agro non gignuntur, nisi quod dixeris falsum erit.

5.

Aristoteles etiam ex sisymbriis putrefactis scorpios nasci dicit.

6.

Ab hydro percussum statim odorem teterrimum reddere narrat Aristoteles : ex eoque quod male oleat, neminem ei appropinquare posse. Idem quoque ait eundem percussum cum oblivione circumfundi, ejusque oculis multam caliginem offundi, tum rabiem et summum tremorem eidem exoriri, tertioque die perire.

7.

Aristoteles dicit lacertam exsiccatam in viperam mutari.

γεννᾶσθαι ἀλλὰ καὶ αὐτόματα γίνεσθαι καὶ ἀπὸ τῆς γῆς σηπομένης (H. An. V, 19, p. 93, 19)· αὐτῶν δὲ τῶν ζώων καὶ τῶν φυτῶν μεταβάλλεσθαί τινα εἰς ἕτερα. Καὶ γὰρ τὴν κάμπην φασὶν (l. l. p. 93, 30) εἰς ζῷον ἕτερον πτερωτὸν τὴν καλουμένην ψυχὴν καὶ τὰς ἀπὸ τῆς συκῆς κάμπας (ib. 95, 12. Cf. Ælian. de Nat. Anim. IX, 39) εἰς κανθαρίδας, τόν τε ὕδρον εἰς ἔχιν ξηραινομένων τῶν λιμνῶν. Ἔνια δὲ καὶ κατὰ τὰς ὥρας δοκεῖ μεταβάλλειν (H. An. IX, 49, p. 206, 39 sqq.) Cf. Nicand. Theriac. v. 414 sqq.

8 (300).

Ælian. de Nat. Anim. VI, 14 : Ἡ ὕαινα, ὡς Ἀριστοτέλης λέγει, ἐν τῇ ἀριστερᾷ χειρὶ ἔχει δύναμιν ὑπνοποιὸν καὶ ἐνεργάζεται κάρον μόνον προσθιγοῦσα. Πάρεισι γοῦν ἐς τὰ αὔλια πολλάκις καὶ ὅταν ἐντύχῃ τινὶ καθεύδοντι, προσελθοῦσα ἡσυχῇ τὴν ὑπνοποιόν, ὡς ἂν εἴποις, χεῖρα προσέθηκε τῇ ῥινί. Ὁ δὲ ἕλκεταί τε καὶ πιέζεται καὶ ἀναισθήτῳ μᾶλλον ἔοικε· καὶ ἐκείνη μὲν ὑπορύττει τὴν γῆν τὴν ὑπὸ τῇ κεφαλῇ ἐς τοσοῦτον, ἐς ὅσον ἀνέκλασεν ἐς τὸν βόθρον καὶ τὴν φάρυγγα ὑπτίαν ἀπέφηνε καὶ γυμνήν· ἐνταῦθα δὲ ἡ ὕαινα ἐνέφυ καὶ ἀπέπνιξε καὶ ἐς τὸν φωλεὸν ἀπάγει. Καὶ τοῖς κυσὶ δὲ ἐπιτίθεται ἡ αὐτὴ τὸν τρόπον ἐκεῖνον· ὅταν ᾖ πλήρης ὁ τῆς σελήνης κύκλος, κατόπιν λαμβάνει τὴν αὐγὴν καὶ τὴν αὐτῆς σκιὰν ἐπιβάλλει τοῖς κυσὶ καὶ παραχρῆμα αὐτοὺς κατεσίγασε καὶ καταγοητεύσασα, ὡς αἱ φαρμακίδες, εἶτα ἀπάγει σιωπῶντας καὶ κέχρηται ὅ τι καὶ βούλεται τὸ ἐντεῦθεν αὐτοῖς.

Cf. Arist. Auscultt. mirab. 145. Ælian. l. l. III, 7. Plin. Hist. Nat. VIII, 44 : *Multa prœterea mira traduntur* (de hyæna scil.)... *umbrœ ejus contactu canes obmutescere et quibusdam magicis artibus omne animal quod ter lustraverit in vestigio hœrere.*

9 (301).

Schol. Cod. Ven. B in Hom. Il. χ, 93 : Φησὶ δὲ καὶ ἐν τῷ ϛ' περὶ Ζῴων Ἀριστοτέλης ἐσθίοντα αὐτὸν (τὸν δράκοντα scil.) μύρμηκας καὶ κανθαρίδας μετὰ τὴν φώλευσιν ἰοῦ πληροῦσθαι πλείονος τοῦ ἐμφύτου καὶ ἐρεθίζεσθαι καὶ λυσσᾶν ἐπιθυμοῦντά που ἀπομάξασθαι τὸν ἐνοχλοῦντα ἰόν.

Cf. Eustath. l. l. p. 1259, 41 : Κακὰ δὲ φάρμακα οἱ μὲν πόαν τινά φασι χολῆς γεννητικήν, ἣν ἐσθίων ὄφις εἰς χολὴν ἐρεθίζεται· ἕτεροι δὲ ὅτι δράκων ἐσθίων μύρμηκας καὶ κανθαρίδας ἰοῦ πληροῦται καὶ εἰς λύσσαν ἄγεται, καὶ ταῦτά ἐστιν, ἅπερ ὁ ποιητὴς λέγει κακὰ φάρμακα πρὸς διαστολὴν τῶν ἀγαθῶν.

In Hist. Animalium nihil tale legitur, quamvis de dracone mentio fiat l. IX, 6. p. 178, 3, ad quem locum cf. Ælian. de Nat. An. VI, 4 et Plin. VIII, 41.

10 (302).

Ælian. de Nat. Anim. IX, 6 : Κατὰ τὴν νουμηνίαν δὲ τὰ ζῷα, ὡς πυνθάνομαι, ἢ φθέγγεταί τι τῇ συντρόφῳ φωνῇ ἢ πίπτει, λέων δὲ ἄρα μόνος, ὡς Ἀριστοτέλης φησίν, οὐθέτερον αὐτοῖν δρᾷ. Similia sunt apud Plinium Hist. Nat. II, 41.

11 (303).

Solinus Polyh. c. 27, 12 : *Verum, ut ad Africam redeam, interna ejus plurimœ bestiœ sed principaliter leones tenent : qui, ut* ARISTOTELES *perhibet, soli ex eo genere quod dentatum vocant vident protinus atque nascuntur.*

Nomen Aristotelis hîc valde suspectum est. Longe enim abest ut tale quid narret philosophus, immo plane contrarium asserit, de Generat. Animal. II, 6, p. 360, 4 : Ἔτι δ' ὅσα πολυσχιδῆ τῶν τετραπόδων, οἷον κύων, λέων, λύκος, ἀλώπηξ, θώς, πάντα τυφλὰ γεννᾷ, καὶ διίσταται τὸ βλέφαρον γενομένων ὕστερον. Eandem fabulam repetunt Plutarch. Quæst. conviv. IV, 5, 2, ubi de Ægyptiis tradit : Τὸν λέοντα τῷ ἡλίῳ συνοικειοῦσιν, ὅτι

8.

Hyæna, ut Aristoteles tradit, læva in manu vim soporiferam habet, et solo tactu somnum efficit. Sæpenumero igitur in stabula ingressa, quum dormientem aliquem deprehenderit, et pedetentim ad illum progressa fuerit, soporiferam, ut ita dicam, manum ejus naribus admovet; sicque eas opprimit, hic ut sine sensu esse videatur; ac tantum terræ suffodit, quantum sit ad eum ipsum obruendum satis : guttur vero et supinum et nudum reliquit, in quod incumbens somno oppressum suffocat posteaque in latibulum abstrahit. Jam quum lunæ orbis plenus est, retro posito lunæ fulgore, suam canibus umbram injicit, quos statim mutos reddit, et tanquam veneficio quodam eorum sensus perstringit; deinde et elingues abducit, et optatis fruitur.

Aristoteles dicit draconem postquam latuit, formicas et cantharidas comedere et ita majore copia veneni impleri quam quod innatum est. Lacessitum igitur et furere cupientem exprimere alicubi quod molestiam exhibeat venenum.

10.

In novilunio comperio animantes vel voce ipsis naturale aliquid sonare, vel cadere, leonem tantum, ut Aristoteles dicit, neutrum facit.

τῶν γαμψωνύχων τετραπόδων βλέποντα τίκτει μόνος, et Ælianus de Nat. Anim. V, 39 : Λέγει Δημόκριτος τῶν ζώων μόνον τὸν λέοντα ἐκπεπταμένοις τίκτεσθαι τοῖς ὀφθαλμοῖς. Aristotelis igitur nomen ex errore pro Democriti illatum est a Solino, vel ab ejus potius interpolatore, quum jam Salmasius annotaverit in *Exercitat. Plin.* p. 229, B, ed. Traj. 1689, hunc locum in plerisque libris non haberi, in aliis exstare, in optimo vero codice Pauli Petavii, senatoris Parisiensis hæc verba ad marginem adscripta fuisse, monente Josia Mercerio.

12 (304).

Schol. in Odyss. σ, 2 : Ἔπρεπε γαστέρι μάργῃ : (πόθεν ἐτυμολογεῖται addit. Etym.) οὐδεὶς οὔτε γραμματικῶν οὔτε ῥητόρων ἐμνημόνευσεν. Ἀριστοτέλης δὲ ἐν τῷ περὶ Ζώων μέμνηται ζώου μάργου, λέγων ὅτι γεννᾶται ἀπὸ σήψεως μεταξὺ γῆς καὶ ὕδατος. Καὶ ἀφ' οὗ γεννηθῇ οὐ παύεται γαιηφαγοῦν, ἕως οὗ ἐκτρυπήσῃ (κατατρυπήσῃ cod. Vindob.) τὴν γῆν καὶ εἰς τὴν ἐπιφάνειαν ἔλθῃ. Καὶ ἐλθὸν θνήσκει (καὶ κεῖται νεκρὸν add. Etym. Gud.) τρεῖς ἡμέρας. Καὶ (μετὰ ταῦτα add. Et. Gud. μετὰ τὰς τρεῖς ἡμέρας cod. Paris. 2630) ἔρχεται νέφος μετὰ βροντῆς καὶ βρέχει ἐπάνω αὐτοῦ, καὶ ἀναζῇ μηκέτι γαιηφαγοῦν. Ἐκ τούτου οἶμαι τοὺς ἀρχαίους φιλοσόφους ὁρμηθέντας τοὺς πολυφάγους γαστριμάργους καλέσαι.

Quæ sequuntur aperte christianum scriptorem produnt, e quorum numero alius, Isidorus Pelusiota Epist. 384 rectius de nominis origine disserens hæc habet : Γαστριμαργία δέ ἐστιν ἡ περὶ γαστέρα μανία, ἐπεὶ μάργος ὁ μεμηνώς. Eadem quæ Scholia in Odysseam, habent quoque Etymol. M. p. 222, 3 et Etym. Gud. p. 120, 6, qui in fine addit : Μάργος δέ μοι δοκεῖ ὅτι ὁ μύρμηξ ἐστί. Fortasse nomen Aristotelis male pro Aristophanis Byzantii irrepsit.

XV. ΠΕΡΙ ΘΗΡΙΩΝ.

(305.)

Eratosthenes Catasterismi, c. 41 : Κόραχος. Τοῦτο το ἄστρον κοινόν ἐστιν ἀπὸ πράξεως γεγονὸς ἐναργοῦς· τιμὴν γὰρ ἔχει ὁ κόραξ παρὰ τῷ Ἀπόλλωνι· ἑκάστῳ γὰρ τῶν θεῶν ὄρνεόν ἐστιν ἀνακείμενον. Θυσίας δέ γινομένης τοῖς θεοῖς σπονδὴν πεμφθεὶς ἐνέγκαι ἀπὸ κρήνης τινός, ἰδὼν παρὰ τὴν κρήνην συκῆν ὀλύνθους ἔχουσαν ἔμεινεν ἕως πεπανθῶσιν. Μεθ' ἱκανὰς δὲ ἡμέρας πεπανθέντων τούτων καὶ φαγὼν τῶν συκῶν, αἰσθόμενος τὸ ἁμάρτημα, ἐξαρπάσας καὶ τὸν ἐν τῇ κρήνῃ ὕδρον ἔφερε σὺν τῷ κρατῆρι, φάσκων αὐτὸν ἐκπίνειν καθ' ἡμέραν τὸ γιγνόμενον ἐν τῇ κρήνῃ ὕδωρ. Ὁ δὲ Ἀπόλλων ἐπιγνοὺς τὰ γενόμενα τῷ μὲν κόραχι ἐν τοῖς ἀνθρώποις ἐπιτίμιον ἔθηκεν ἱκανόν, τοῦτον τὸν χρόνον διψᾶν, καθάπερ Ἀριστοτέλης εἴρηκεν ἐν τοῖς περὶ Θηρίων, μνημόνευμα δώσων τῆς εἰς θεοὺς ἁμαρτίας σαφές, εἰκονίσας (δὲ) ἐν τοῖς ἄστροις ἔθηκεν εἶναι τόν τε ὕδρον καὶ τὸν κρατῆρα· καὶ τὸν κόρακα μὴ δυνάμενον πιεῖν μηδὲ προσελθεῖν τῷ κρατῆρι.

Cf. Schol. ad. Arati Phænom. v. 449, p. 104 Buhle : Εἴδωλον κόραχος : Τινές φασι τὸν κόρακα θεράποντα Ἀπόλλωνος ὄντα ὑπ' αὐτοῦ πεμφθῆναι σπονδῶν χάριν ἔκ τινος κρήνης κομιοῦντα καθαρὸν ὕδωρ ἐν κρατῆρι, ἰδόντα δὲ συκῆν ὀλύνθους ἔχουσαν ἀναμεῖναι μέχρι πεπανθῶσι· φαγόντα δὲ οὕτω καὶ τὸ ἁμάρτημα συνθήσαντα ἁρπάσαντά τε ὕδωρ (ὕδρον corr.) ἐκ πηγῆς ὁμοῦ τῷ κρατῆρι φέρειν καὶ λέγειν, ὡς διεκωλύετο ὑδρεύσασθαι ὑπ' αὐτῆς. Ἀπόλλωνα δὲ γνόντα τὸ ἀληθὲς εἰς ὄρνεον αὐτὸν μεταμορφῶσαι καὶ ποιῆσαι δίψαν (διψᾶν corr.) περὶ τὴν ἀκμὴν τῆς ὀπώρας. (Κατηστερίσθη δὲ πάντων τὰ εἴδωλα add. cod. Mosq.)

Eandem narrationem habent Ovidius Fast. II, 243-66, Hyginus Poet. Astron. II, 40 : *Hydra, in qua corvus insidere et crater positus exis-*

12.

Aristoteles in libro de Animalibus, bestiæ cujusdam meminit quam *margum* appellat, dicens eam e corruptione nasci inter aquam et terram. Inde a tempore vero quo nascitur terram vorare non desinit, dum, perforata terra, conspicua fiat. Quod postquam factum est moritur et mortua tres dies jacet. Post hos accedit nubes cum tonitru et pluit super ipsam et ad vitam redit, non amplius vero terram comedit.

DE BESTIIS.

Signum corvi commune est (*corvi, hydræ, crateris* scil.) et a manifesto facto ortum : honorem enim corvus habet apud Apollinem, quum unicuique deorum avis consecrata sit. Sacrificium quum inter deos celebraretur missus est corvus qui ab aliquo fonte latices ad libationem faciendam afferret. Quum vidisset propter fontem ficum grossos habentem, commoratus est dum maturescerent. Post justos vero dies, quum hi jam maturi facti essent et quum ab illis comedisset, et se peccasse sensisset, raptam simul hydram quæ in fonte erat cum cratere abstulit, dicens illam quotidie exhaurire aquam quæ in fonte esset. Apollo vero quæ facta essent perspiciens, justam corvo imposuit pœnam apud homines, per hoc tempus (*quo ficus maturescunt*) sitire, ut Aristoteles dicit in libris de Bestiis, in manifestam memoriam culpæ quam in deos contraxerat. Effigiem autem inter astra posuit hydræ, crateris et corvi, neque bibere, neque ad craterem accedere valentis.

timatur, de qua hanc habemus memoriæ proditam causam. Corvus Apollinis tutela usus, eo sacrificante missus ad fontem aquam puram petitum, vidit arbores complures ficorum immaturas. Eas exspectans dum maturescerent, in arbore quadam earum consedit. Itaque post aliquot dies coctis ficis et a corvo compluribus earum comesis, exspectans Apollo corvum vidit eum cum cratere pleno volare festinantem. Pro quo admisso ejus dicitur, quod diu moratus sit Apollinem qui coactus mora corvi alia aqua est usus, hac ignominia cum affecisse, ut quam diu fici coquerentur corvus bibere non possit, ideo quod guttur habeat pertusum illis diebus. Itaque quum vellet significare sitim corvi, inter sidera constituit cratera et supposuit hydram, quæ corvum sitientem moraretur. Videtur enim rostro caudam ejus extremam verberare, ut tamquam sinat se ad cratera transire. Schol. in Germanici Arat. Phæn. 426, p. 88 Buhle : *Qui corvus ideo inter astra collocatus dicitur eo quod fuerit in tutela Apollinis, a quo missus ad fontem ut diis ad libandum aquam deferret, quum vidisset arbores grossos ficus habentes, volans consedit in eis donec maturæ fierent, et aquam deferre distulit. Post paucos autem dies peracto sacrificio, quum ille ficus comedisset et se diis peccasse sensisset denuo ad fontem ut aquam hauriret rediit et ab hydra exterritus vas vacuum reportavit, dicens excessisse aquam quæ fuerat in fonte. Cognoscens Apollo sibi corvum peccasse prohibuit cum eo tempore aquam bibere, ut* Aristoteles *dicit in eo libro qui de Bestiis scribitur. Et Isidorus in Naturalibus vel in Physicis memoriæ tradidit, quod ipse peccati pœnas daret, qui et postea astris illatus est. Crater autem in medio angue positus est, caudam autem anguis corvus appetit rostro neque potest juxta accedere ut bibat.* Propius accedit ad græca altera ejusdem Scholiastæ recensio quam nuper edidit Breysig, in Germanici Cæsaris Arateis, Berol. 1867, p. 100 sq.: *Hoc signum commune est quod est factum enarges. Honoratus est autem corvus ab Apolline sacrificio facto deis sponden adferre de lacu quodam, quod fuit castum antequam vinum ostenderetur. Qui cum vidisset [et] ad fontem ficus grossos arbores habentes volans consedit in eis donec maturæ fierent. Post paucos dies peracto sacro [et] ille ficus comedit. Cum sensisset se peccasse eripit ex eo fonte anguem. Attulit cum ipso cratere dicens ebibisse quod fuerit in fonte aquæ. Re cognita Apollo corvo inter homines pœnam ad paucum tempus dedit sitim ut* Aristoteles *dicit in eo libro qui de Bestiis scribitur. Item Isidorus in Naturalibus id est physicis memoriæ tradidit ut ipse peccati pœnas daret. Quem postea astris intulit. Cratera autem cum aqua medio posuit angue caudam autem anguis corvum rostro adpetentem ne possit juxta ascendere ut bibat.*

Qui hîc laudatur titulus περὶ Θηρίων, *de Bestiis*, eorum qui in indicibus leguntur nulli respondet, nec video quomodo, quod Rosius voluit, περὶ Θηρίων idem hic valere possit, atque περὶ Δακετῶν, *de Bestiis venenatis*, ita ut Aristoteli male pro Theophrasto adscriptus esset liber, quum non de hydra sed de corvo fabula narretur, nec quidquam in illa simile sit iis quæ e Theophrasti opere ita inscripto alibi afferuntur. Si constaret totam fabulam ex Aristotele fluxisse, nec ejus testimonium ideo tantum adhibitum esse, ut probaretur corvum per certum quoddam anni spatium sitim tolerare, nullus est de quo prius cogitandum foret libro, quam de eo qui περὶ τῶν μυθολογουμένων Ζῴων α′ inscriptus, apud Diogenem (106) et Anonymum (86) recensetur (similis titulus in Stratonis scriptorum catalogo exstat apud Diog. Laërt. V, 59), qui titulus similem exsequitur apud Diogenem (105) ὑπὲρ τῶν συνθετῶν Ζῴων α′. Ipsam narrationem ex Eratosthene excerptam esse, licet male ementitus sit celeberrimum ejus nomen catasterismorum liber in quo legitur (cf. Bernhardy, *Eratosthenica*, Berol. 1822, p. 110, Westermann, præf. in *Mythogr*. p. IX), testari videtur Hyginus l. l.

XVI. ΠΕΡΙ ΦΥΣΕΩΣ ΑΝΘΡΩΠΟΥ

Ἀριστοτέλης δ' ἐν τῷ περὶ τῆς Ἑρμιόνης ἱερῶν ἰδιώτερον ἱστορεῖ περὶ τοῦ Διὸς καὶ [τῆς] Ἥρας γάμου. Τὸν γὰρ Δία μυθολογεῖ ἐπιβουλεύειν τῇ Ἥρᾳ μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. Βουλόμενον δὲ ἀφανῆ γενέσθαι καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς, τὴν ὄψιν μεταβάλλειν εἰς κόκκυγα καὶ καθίσαι εἰς ὄρος, ὃ πρῶτον μὲν Θόρναξ (Θρόναξ vulg. quod corr. Hemsterh.) ἐκαλεῖτο, νῦν δὲ Κόκκυξ. Καὶ χειμῶνα ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ. Τὴν δὲ Ἥραν πορευομένην μόνην ἀφικέσθαι πρὸς τὸ ὄρος καὶ καθέζεσθαι ἐπ' αὐτό, ὅπου νῦν ἐστὶν ἱερὸν Ἥρας τελείας. Τὸν δὲ κόκκυγα ἰδόντα καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς, πεφρικότα καὶ ῥιγῶντα διὰ τὸν χειμῶνα. Τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ. Τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν καὶ ἐπιλαβέσθαι τῆς Ἥρας. Τῆς δὲ τὴν μῖξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν ὑποσχέσθαι γυναῖκα ταύτην ποιήσασθαι. Καὶ παρ' Ἀργείοις δὲ οἳ μέγιστα τῶν Ἑλλήνων τιμῶσι τὴν θεόν, τὸ ἄγαλμα τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν θρόνῳ τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ' αὐτῷ τῷ σκήπτρῳ Κόκκυξ [ἐπικάθηται].

De nomine Aristotelis plerique dubitaverunt: ita, ne de Wartono loquar, Ἀριστοφάνης scribendum esse conjicienti, Prellerus ad Polemon. Perieg. fr. p. 59 Ἀριστείδης malebat, C. Müllerus vero cum Grashofio Ἀριστοκλῆς, quod unice probat Rosius. Nec minor est dubitatio de verbis ἐν τῷ περὶ Ἑρμιόνης ἱερῶν, quæ est Toupii et Hemsterhusii emendatio, pro eo quod in codd. legitur ἱερῷ. Cf. Welcker, *Kleine Schriften*, t. V, p. 13. Pro sequenti ἰδιώτερον, pro quo in cod. Florent. ἡ διατριβῇ exstare dicitur, Kiesslingius διατριβῇ recepit, unde Grashof. l. l. p. 143 conjecit ἐν τῇ περὶ Ἥρας καὶ Διὸς ἱερῶν διατριβῇ. Erroris causam e compendio ortam indicavit Dübnerus v. cl. in annot. crit. in Schol. ad Theocrit., ed. Didot. p. 161, apud quem et reliqua lectionis varietas enotata est. Cf. *Scholia codicis Ambrosiani* 222 *in Theocritum* ed. Ziegler, Tubing. 1867, p. 89. Ceterum totus hic locus exstat quoque in Eudociæ Violario, p. 202, omisso tamen auctoris nomine et initio τὸν Δία μυθολογοῦσι. Pro illo deinde : ὅπου νῦν ἐστὶν ἱερὸν Ἥρας τελείας ibi legitur ὅπου τὸ ἱερὸν μετέπειτα αὐτῆς ἵδρυτο τελέας Ἥρας ἐπονομασθέν : postea vero simili errore quo Scholiastes Θρό-

---

(EPIDAURIORUM.)

111.

Epidaurus olim nominabatur Epicarus : etenim Cares olim urbem tenuisse siculi etiam Hermionem refert Aristoteles; sub reditu vero Heraclidarum cohabitasse cum iis Iones, qui una cum Heraclidis ex tetrapoli Attica in Argolidem venissent.

(HERMIONENSIUM.)

112.

Aristoteles ubi de Hermiones sacris agit, peculiare quiddam de Jovis et Junonis nuptiis narrat. Etenim Jovem fabulatur voluisse cum Junone consuescere simulac eam a reliquis deabus separatam offenderet. Quum vero invisibilis fieri neque conspici ab ea vellet, in cuculum se mutavit, conseditque in monte, qui olim Thornax vocabatur, nunc appellatur Coccyx. Porro die isto Jovem narrat ingentem excitasse tempestatem; Junonem autem solem ad montem hunc venientem consedisse eo loco, ubi nunc est fanum Junonis Pronubæ. Tunc cuculum tempestate rigentem et trementem in genua Junonis devolasse ibique consedisse. Junonem misertam veste eum sua texisse. Jovem statim mutata forma Junonem comprehendisse, eique matris causa concubitum deprecanti promisisse se uxorem ipsam ducturum esse. Quare apud Argivos, qui præ ceteris Græcis deam hanc colunt, signum Junonis in templo throno insidens manu tenet sceptrum, sceptroque insidet cuculus.

ναξ habet, de quo ita Pausanias II, 36, 2: Ἔστι δ' οὖν ὁδὸς καὶ ἐς ταύτην τοῦ τε Πρωνὸς μέση, καὶ τοῦ Θόρνακος καλουμένου τὸ ἀρχαῖον. Ἀπὸ δὲ τῆς Διὸς ἐς κόκκυγα τὸν ὄρνιθα ἀλλαγῆς λεγομένης ἐνταῦθα γενέσθαι μετονομασθῆναι τὸ ὄρος φασίν. Ἱερὰ δὲ καὶ ἐς τόδε ἐπὶ ἄκρων τῶν ὀρῶν, ἐπὶ μὲν τῷ Κοκκυγίῳ Διός, ἐν δὲ τῷ Πρῶνί ἐστιν Ἥρας. De cuculo in sceptro Junonis considenti idem narrat II, 17, 4. Inde perspicitur rem, si ab Aristotele narrata erat (narrari autem potuit eodem plane modo quo a Pausania narrata est, qui hæc adscripsit l. l.: Τοῦτον τὸν λόγον, καὶ ὅσα ἐοικότα εἴρηται περὶ θεῶν, οὐκ ἀποδεχόμενος γράφω, γράφω δὲ οὐδὲν ἧσσον), ad nullum melius librum referri quam ad Hermionensium Politiam. Talem vero ab Aristotele conscriptam fuisse satis manifesto declarant quæ in præcedenti fragmento allata sunt Strabonis verba. Deinde ipsam narrationem antiquissimam et cum urbis origine conjunctam fuisse, immo inde Hermionenses, etsi ridicula etymologia, nomen derivasse, Stephanus Byzant. testatur s. v.: Ἑρμιὼν καὶ Ἑρμιόνη, ἀπὸ τῆς Ἑρμιόνος γενικῆς... ἐκαλεῖτο δὲ καὶ Λακέρεια. Ἕρμιον δὲ ἀπὸ τὸν Δία καὶ τὴν Ἥραν ἐνταῦθα ἀπὸ Κρήτης ἀφικομένους ὁρμισθῆναι, καὶ τροπῇ τοῦ ο εἰς ε, ὅθεν καὶ ἱερὸν Ἥρας παρθένου (immo τελείας) ἦν ἐν αὐτῇ. Minime igitur cum C. Müllero de Cerere Hermione cogitandum, licet deæ nomen et urbis idem fortasse fuerit. Cf. Hesych. et Phot. s. v., Athen. XIV, p. 624, 655 et Lobeck. *Paralipom. gramm. græc.*, t. I, p. 299. De hujus Cereris sacris apud Hermionenses locutus erat Aristocles quidam, versibus elegiacis quos affert Ælianus Hist. An. XI, 4. Cf. C. Mülleri, Fragm. Hist. t. IV, p. 330.

ΗΛΕΙΩΝ.

113 (483).

Harpocration s. v. Ἑλλανοδίκαι: Ὑπερίδης ἐν τῷ ὑπὲρ Καλλίππου πρὸς Ἠλείους. Ἀριστοτέλης Ἠλείων Πολιτείᾳ τὸ μὲν πρῶτόν φησιν ἕνα καταστῆσαι τοὺς Ἠλείους Ἑλλανοδίκην, χρόνου δὲ διελθόντος β', τὸ δὲ τελευταῖον θ'. Eadem Suidas, Aristotelis nomine omisso.

114 (484).

Strabo VIII, p. 345: Οἱ μὲν γὰρ ὅλην τὴν νῦν Ἠλείαν, ἀπὸ τῆς Μεσσηνίας μέχρι Δύμης, Καυκωνίαν λεχθῆναί φασιν. Ἀντίμαχος οὖν Ἐπειοὺς καὶ Καύκωνας ἅπαντας προσαγορεύει· τινὲς δὲ ὅλην μὲν μὴ κατασχεῖν αὐτούς, δίχα δὲ μεμερισμένους οἰκεῖν, τοὺς μὲν πρὸς τῇ Μεσσηνίᾳ κατὰ τὴν Τριφυλίαν, τοὺς δὲ πρὸς τῇ Δύμῃ κατὰ τὴν Βουπρασίδα καὶ τὴν κοίλην Ἦλιν. Ἀριστοτέλης δ' ἐνταῦθα μάλιστα οἶδεν ἱδρυμένους αὐτούς. Καὶ δὴ τοῖς ὑφ' Ὁμήρου λεγομένοις ὁμολογεῖ μᾶλλον ἡ ὑστάτη ἀπόφασις τό τε ζητούμενον πρότερον λαμβάνει λύσιν.

Inter Homericas quæstiones memorat Strabo, cf. Odyss. γ, 366 indeque C. Müllerus (fr. 93) ad Ἀπορήματα Ὁμηρικὰ pertinere putabat.

ΗΠΕΙΡΩΤΩΝ.

115 (485).

Stephan. Byzant. s. v. Ἀμύνται: Ἔθνος Θεσπρωτικόν, « μένος πνείοντες Ἀμύνται ». Καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἠπειρωτῶν Πολιτείᾳ.

Versus particulæ ut Meineke in *Analectis Alexandrinis*, p. 188, et C. Müller. suspicati sunt, Rhiani videntur esse.

ΘΕΤΤΑΛΩΝ.

Vide quæ supra e Photii Bibl. in Sopatri excerptis c. 161 allata sunt, ad Achæorum Politiam fr. 105 b.

116 (486).

Junius Philargyrius in Virgilii Georg. II, 97: *Sunt et Aminææ: Aminæos* Aristoteles *in Politicis* (*Politiis* corr.) *hoc scribit Thessalos fuisse, qui suæ regionis vites in Italiam transtulerint, atque illis inde nomen dederint.*

ELEORUM.

113.

Aristoteles in Eleorum Republica dicit primum quidem unum tantum Hellanodicam Eleos instituisse, postea duos, postremo novem.

114.

Etenim nonnulli Eleam universam Cauconiam appellatam esse dicunt. Itaque Antimachus Epeos et Caucones omnes appellat; alii vero non totam Eleam eos tenuisse volunt, sed bifariam divisos habitasse, alteros ad Messeniam in Triphylia, alteros ad Dymen in Bupraside et in cava Elide. Aristoteles vero hoc postremo maxime loco eos consedisse novit. Quæ quidem sententia magis convenit cum verbis Homeri, atque sic etiam quod antea quærebatur, jam explicationem invenit.

EPIROTARUM.

115.

Amyntæ populus Thesproticus, Aristoteles in Epirotarum Republica.

Vites Aminæas antiquissimas fuisse tradit Columella de Re rust. III, 9 : *Quum vetustissimas quasque vineas adhuc existimemus Aminæas.* Huc fortasse et Hesychii glossa spectat : Ἀμιναῖον· δι' ἑνὸς ν, τὸν οἶνον λέγει· ἡ γὰρ Πευκετία Ἀμιναία λέγεται. Alia nominis etymologia apud Macrobium legitur Saturnal. III, 20, 6. Ceterum fragmentum potius ad Italicam quandam rempublicam pertinuisse videtur.

117 (487).

Eustath. in Odyss. ν, 408, p. 1746, 66 : Παυσανίας δέ φησιν ὅτι Βοιωτοῖς ἔχρησεν ὁ θεός, ἔνθα λευκοὶ κόρακες αὐτοῖς ὀφθῶσιν, ἐκεῖ κατοικεῖν. Ἰδόντες οὖν φησὶ κόρακας πετομένους περὶ τὸν Παγασητικὸν κόλπον, οὓς ἄκακοι παῖδες ἐγύψωσαν, ἐκεῖ ᾤκησαν καλέσαντες τὸ χωρίον Κόρακας· ὕστερον δὲ Αἰολεῖς ἐκβαλόντες αὐτοὺς ἔπεμπον ἐκεῖ τοὺς φυγαδευομένους, Ὁ δ' αὐτὸς λέγει καὶ ὅτι Ἀριστοτέλης ἱστορεῖ λοιμοῦ κατασχόντος καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους θηρεύοντας αὐτοὺς καὶ περικαθαίροντας ἐπαοιδαῖς ἀφιέναι ζῶντας καὶ ἐπιλέγειν τῷ λοιμῷ· Φεῦγ' εἰς κόρακας.

Eadem Photius s. v. Ἐς κόρακας, Apostol. VII, 99. In Etymol. Gudian. p. 34, 35 s. v. Ἀπεσκοράκιζεν, plurima corrupta sunt. Priorem proverbii explicationem Zenobius ita dat III, 87 : Ἐς κόρακας. Ἐν Θεσσαλίᾳ τόπος ἐστὶ Κόρακες, ὅπου τοὺς κακούργους ἔβαλλον· ὅθεν ἡ παροιμία. Μέμνηται δὲ ταύτης Μένανδρος συνεχῶς. Λέγουσι δὲ ὅτι Βοιωτοῖς Ἄρνην (cf. O. Müller. *Orchomenos u. die Minyer* p. 385) ποτὲ οἰκοῦσι προείρητο ὑπὸ τοῦ θεοῦ ἐκπεσεῖσθαι τῆς χώρας λευκῶν κοράκων φανέντων. Νεανίσκοι δέ ποτε μεθυσθέντες καὶ συλλαβόντες κόρακας, γυψώσαντες ἀφῆκαν πέτεσθαι. Ἰδόντες δὲ οἱ Βοιωτοὶ ἐταράχθησαν ὡς τῆς μαντείας λαβούσης τὸ τέλος. Καὶ φοβηθέντες οἱ νεανίσκοι τὸν θόρυβον, φυγόντες ᾤκησάν τινα τόπον ὃν ἐκάλεσαν Κόρακας. Μετὰ δὲ ταῦτα ἐκβαλόντες τοὺς Βοιωτοὺς οἱ Αἰολεῖς (ita male pro Θεσσαλοὶ) ἔσχον τὴν Ἄρνην οἰκείαν οὖσαν καὶ τοὺς ἁμαρτάνοντας μεθιστᾶσιν εἰς τοὺς Κόρακας καλουμένους. Post hanc explicationem, alia interposita : Οἱ δέ, ὡς τοῦ ζῴου ἀναιδοῦς καὶ δυσοιωνιστικοῦ τῶν ἀνθρώπων ὄντος, Aristotelis quoque adjecit Suidas. Cf. Schol. Aristoph. Nubes, v. 133, Schol. Clement. Alexandr. t. IV, p. 97 ed. Klotz.

Fragmentum ad librum περὶ Παροιμιῶν retulit Müllerus (fr. 280) quem nullum fuisse puto. Ad Politias potius referendum videtur etsi fortasse non ad Thessalorum.

118 (488).

Harpocration s. v. Τετραρχία : Δημοσθένης Φιλιππικοῖς (III, § 26). Τεττάρων μερῶν ὄντων τῆς Θετταλίας ἕκαστον μέρος τετρὰς ἐκαλεῖτο, καθά φησιν Ἑλλάνικος ἐν τοῖς Θετταλικοῖς. Ὄνομα δέ φησιν εἶναι ταῖς τετράσι Θετταλιῶτιν, Φθιῶτιν, Πελασγιῶτιν, Ἑστιαιῶτιν. Καὶ Ἀριστοτέλης δὲ ἐν τῇ κοινῇ Θετταλῶν Πολιτείᾳ ἐπὶ Ἀλεύα τοῦ Πυρροῦ διῃρῆσθαί φησιν εἰς δ' μοίρας τὴν Θετταλίαν. Εἴη ἂν οὖν λέγων ὁ Δημοσθένης τὴν τετραρχίαν. Ὅτι δὲ Φίλιππος καθ' ἑκάστην τούτων τῶν μοιρῶν ἄρχοντα κατέστησε δεδηλώκασιν ἄλλοι τε καὶ Θεόπομπος ἐν τῇ μδ'.

Eadem Photius et Suidas. De Aleua cui cognomen rufo erat cf. Plutarch. de Fraterno amore c. 21.

119 (489).

Schol. A (Vatic.) ad Eurip. Rhesum v. 307 (t. I, p. 28, 17 Dind.) : Πολλὰ πελταστῶν τέλη : Πέλτη ἀσπίς ἐστιν ἴτυν οὐκ ἔχουσα, καθάπερ φησὶν Ἀριστοτέλης ἐν Θεσσαλῶν Πολιτείᾳ γράφων οὕτως· « Διελὼν δὲ τὴν πόλιν Ἀλεύας ἔταξε κατὰ (ita Pflugk. et Ros. pro καὶ) τὸν κλῆρον παρέχειν ἑκάστους, ἱππέας μὲν τεσσαράκοντα, πελταστὰς (cod. ὁπλίτας quod corr. Cobet. et Pflugk.) δὲ ὀγδοήκοντα. Ἦν δὲ ἡ πέλτη ἀσπὶς ἴτυν οὐκ ἔχουσα [οὐδ'] ἐπίχαλκος [οὐδὲ βοὸς ἀλλ'] αἰγὸς [ἢ οἰὸς] δέρματι περιτεταμένη, καὶ τριάκοντα [ὁπλίτας] οἳ (ita Cobet.

THESSALORUM.

117.

Aristoteles, Pausania teste, narrat peste grassante quum corvi adessent permulti, homines eos cepisse et purgantes incantationibus dimisisse vivos, simulque post dixisse : *Fuge ad corvos.*

118.

Aristoteles in communi Thessalorum Republica sub Aleua qui cognomen rufi habebat Thessaliam in quattuor partes divisam esse ait.

119.

Πέλτη, clypeus est umbone carens, ut dicit Aristoteles in Thessalorum Republica, ita scribens : « Urbe divisa Aleuas jussit [singulos] secundum censum præbere equites quadraginta, peltastas octoginta. Pelta vero clypeus erat umbone destitutus, neque ære factus, obductus vero non bovina sed caprina sive ovina pelle. Præterea vero triginta qui longam hastam gerebant quæ σχέδιον vocabatur. »

pro ἢ) μακρὸν δόρυ πάντες ἐφόρουν ὃ σχίδιον ἐκαλεῖτο.

Suppleri hæc debent e Schol. ad Plat. Leges p. 453 Bekk. : Πέλτη ἐστὶν εἶδος ἀσπίδος, ὥς φησιν Ἀριστοτέλης, ἥτις ἴτυν οὐκ ἔχει, οὐδ' ἔστιν ἐπίχαλκος, οὐδὲ βοός, ἀλλ' αἰγὸς δέρματι περιτεταμένη : quæ, omisso Aristotelis nomine, exstant quoque apud Photium s. v. Πελτασταί et in Lexic. Rhet. Seguer. p. 297, 8 ubi tamen, post αἰγός additur ἢ ὑός, pro quo Eustathius, duobus in locis eandem descriptionem exhibens, in Iliad. p. 905, 59 et 911, 64 Rom., veriorem scripturam ἢ οἰός præbet. Cf. præterea Hesych. s. v. Πέλτη, Etym. M. p. 660, 25, Timæus Lex. Plat. s. v., Schol. Eurip. Alcest. v. 516. Ad eundem Aristotelis locum sine dubio spectat Hesychii glossa : Σχίδιον. Τὸ δόρυ, ὃ μὴ ἀκοντίζεται. Ἢ τὸ ἀνευπρεπῶς γενόμενον. Ἢ ἐκ τοῦ σύνεγγυς.

Rosii conjecturæ pro τὴν πόλιν, τὰς πόλεις scribentis, illud obstat, quod vix statui poterit singulis urbibus eundem numerum militum imperatum fuisse, ita ut potius de una tantummodo urbe locutum esse Aristotelem credam. Error vero fortasse in voce ἑκάστους latet, totusque locus in hunc modum scriptus erat : Παρέχειν εἴκοσι μὲν ἱππέας, τεσσαράκοντα [δ'] ὁπλίτας, [πελταστὰς] δὲ ὀγδοήκοντα. Triginta vero qui postea nominantur item erant peltastæ aliter vero armati. Ratio numerorum ita jam optime conveniet cum simillimo loco qui apud Xenophontem legitur Hellen. VI, 1, 19 : Ἐπεί γε μὴν ἐτάγευσε, διέταξεν ἱππικόν τε ὅσον ἑκάστη πόλις δυνατὴ ἦν παρέχειν καὶ ὁπλιτικόν. Καὶ ἐγένοντο αὐτῷ ἱππεῖς μὲν σὺν τοῖς συμμάχοις πλείους ἢ ὀκτακισχίλιοι, ὁπλῖται δὲ ἐλογίσθησαν οὐκ ἐλάττους δισμυρίων, πελταστικόν γε μὴν ἱκανὸν πρὸς πάντας ἀνθρώπους ἀντιταχθῆναι. Aliter de loco statuit Prellerus, *Philologus*, t. III, p. 139, qui pro τριάκοντα legi vult τρί' ἀκόντια, servata in sequentibus codicum lectione ἤ.

120 (490).

Athen. XI, p. 499, B : Λάγυνον δὲ μέτρου λέγουσιν εἶναι ὄνομα παρὰ τοῖς Ἕλλησιν, ὡς χοὸς καὶ κοτύλης, χωρεῖν δ' αὐτὸ κοτύλας Ἀττικὰς δώδεκα. Καὶ ἐν Πάτραις δέ φασι τοῦτ' εἶναι τὸ μέτρον τὴν λάγυνον. Ἀρσενικῶς δὲ εἴρηκε τὸν λάγυνον Νικόστρατος... Ἀριστοτέλης δ' ἐν τῇ Θετταλῶν Πολιτείᾳ θηλυκῶς λέγεσθαί φησιν ὑπὸ Θετταλῶν τὴν λάγυνον. Καὶ Ῥιανός... Οὐδετέρως δὲ Δίφιλος ἐν Ἀδελφοῖς εἴρηκεν. Cf. Moeris p. 202, 19 Bekk.: Λάγυνος ἀρρενικῶς Ἀττικοί, θηλυκῶς Ἕλληνες, Pollux X, 72

121 (491).

Ammonius de Differ. voc. p. 147 Valcken. s. v. Χλαμὺς καὶ χλαῖνα διαφέρει, καθὸ διὰ πολλῶν ἀπέδειξε Δίδυμος ἐν ὑπομνήματι δευτέρου Ἰλιάδος (β, 183). Ἡ μὲν χλαῖνα ἡρωικὸν φόρημα, χλαμὺς δὲ Μακεδονικόν, μετὰ ἑξακόσια ἔτη τῶν ἡρωικῶν ὀνομασθεῖσα Σαπφοῖ· πρώτη γὰρ μέμνηται τῆς χλαμύδος. Διαφέρειν φησὶ καὶ τῷ σχήματι· ἡ μὲν γὰρ χλαῖνα τετράγωνον, φησίν, ἱμάτιον, ἡ δὲ χλαμὺς εἰς τέλειον (εἰς κύκλον scribend. videtur Rosio, collato Ptolemæo Ascal. apud Valcken. : Ἡ δὲ χλαμὺς Μακεδόνων ἐστὶν εὕρημα καὶ ἔχει κυκλοτερῆ τὰ κάτω) περὶ τὰ κάτω συνῆκται· καὶ τοὺς χρησαμένους πολὺ καὶ ἀπ' ἀλλήλων διεστάναι. Προσάγεται Ἀριστοτέλην, Φύλαρχον, Πολέμωνα ὅτι πολὺ διαφέρουσιν.

Cf. Pollux X, 124 : Ὅμηρος καὶ τὰ λεπτὰ (ἱμάτια scil.) χλαίνας καλεῖ. Οἱ μέντοι Ἀττικοὶ τὸ λεπτὸν χλανίδα καὶ τὸ ἱππικὸν χλαμύδα, ὡς Θετταλῶν. Πρώτην δέ φασι χλαμύδα ὀνομάσαι Σαπφώ. Idem VII, 46 : Θετταλικὰς χλαμύδας. Aristotelis sententiam refert Schol. in Il. β, 183 : Χλαῖνα ἡ τετράγωνος, χλαμὺς ἡ εἰς ὀξὺ λήγουσα. Pro Ἀριστοτέλης legendum esse Ἀρίσταρχος vix recte conjecit C. Müller. ad fr. 86. De re cf. Schmidt ad Didymi fragm. p. 180.

(ΘΗΒΑΙΩΝ.)

122 (492).

Schol. in Dionys. Thrac. Gramm. in Bekk. Anecd. t. II, p. 783, 1 : Τῶν στοιχείων εὑρέτην ἄλλοι τε καὶ Ἔφορος ἐν δευτέρῳ Κάδμον φασί. Τῆς δὲ Φοινίκων εὑρέσεως πρὸς ἡμᾶς Διόσκορον γεγενῆσθαι, ὡς καὶ Ἡρόδοτος ἐν ταῖς Ἱστορίαις (V, 58) καὶ

120.

Aristoteles in Thessalorum Republica τὴν λάγυνον (*mensuræ nomen*) feminino genere apud Thessalos dici tradit.

121.

Multum inter se differre chlænam et chlamydem Didymus comprobat, adductis testimoniis Aristotelis, Phylarchi, Polemonis.

(THEBANORUM.)

122.

Literarum inventorem Ephorus libro secundo, aliique Cadmum fuisse dicunt, alii eum Phœnicum inventum ad nos pertulisse aiunt, ut Herodotus in Historiis et Aristoteles. Dicunt enim Phœnices invenisse literas, Cadmum vero in Græciam attulisse.

Ἀριστοτέλης λέγει. Φασὶ γὰρ ὅτι Φοίνικες μὲν εὗρον τὰ στοιχεῖα, Κάδμος δὲ ἤγαγεν αὐτὰ εἰς τὴν Ἑλλάδα. Pro τῆς δέ, τινὲς δὲ τῆς conjecit C. Müller ad fragm. 256, sub titulo libri περὶ Εὑρημάτων qui nullus erat.

Eadem in scholio Anonymi ibid. p. 786, 1 : Τῶν στοιχείων ὁ Κάδμος εὑρετής, ὥς φασιν Ἔφορος καὶ Ἀριστοτέλης· ἄλλοι δὲ λέγουσιν ὅτι Φοινίκων εἰσὶν εὑρήματα, Κάδμος δὲ ταῦτα διεπόρθμευσεν εἰς τὴν Ἑλλάδα. Cf. Clemens Alexandr. Strom. I, p. 132 et Suidas s. v. Γράμματα.

Plinius Hist. nat. VII, 57 : *Litteras semper arbitror Assyriis fuisse; sed alii apud Ægyptios a Mercurio, ut Gellius, alii apud Syros repertas volunt. Utique in Græciam intulisse e Phœnice Cadmum sedecim numero. Quibus Trojano bello Palamedem adjecisse hac figura* Θ Ξ Φ Χ, *totidem post Simonidem melicum* Ζ Η Ψ Ω, *quarum omnium vis in nostris recognoscitur.* Aristoteles *decem et octo priscas fuisse* Α Β Γ Δ Ε Ζ Ι Κ Λ Μ Ν Ο Π Ρ Σ Τ Υ Φ *et duas ab Epicharmo additas* Θ Χ *quam a Palamede mavult.*

Sedes fragmenti incerta. Ad Thebanorum Rempublicam retulit Rosius ob Cadmum. De eadem re tamen et in Atheniensium Republica mentio fieri poterat, ut ostendunt quæ legimus apud Photium et Suidam s. v. Σαμίων ὁ δῆμος :... ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρῶτον τὰ κδ' γράμματα ὑπὸ Καλλιστράτου, ὡς Ἄνδρων ἐν Τρίποδι· τοὺς δ' Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς τῶν Ἰώνων γράμμασιν Ἀρχῖνος ὁ Ἀθηναῖος ἐπὶ ἄρχοντος Εὐκλείδου... Περὶ δὲ τοῦ πείσαντος ἱστορεῖ Θεόπομπος. Cf. Harpocration s. v. Ἀττικοῖς γράμμασιν : Δημοσθένης κατὰ Νεαίρας (§ 76) ἀντὶ τοῦ παλαιοῖς. Τὴν γὰρ τῶν κδ' στοιχείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι. Θεόπομπος δ' ἐν τῇ κε' τῶν Φιλιππικῶν ἐσκευωρῆσθαι λέγει τὰς πρὸς τὸν βάρβαρον συνθήκας, ἃς οὐ τοῖς Ἀττικοῖς γράμμασιν ἐστηλιτεῦσθαι ἀλλὰ τοῖς τῶν Ἰώνων et Grammat. in Bekk. Anecd. p. 461, 13.

123 (493).

Zenobius Prov. VI, 17 : Τί οὐκ ἀπήγξω ἵνα Θήβησιν ἥρως γένῃ : Ταύτης Πλάτων ἐν Μενέλεῳ μέμνηται. Φασὶ δὲ ὅτι ἐν Θήβαις οἱ ἑαυτοὺς ἀναιροῦντες οὐδεμιᾶς τιμῆς μετεῖχον. Καὶ Ἀριστοτέλης δέ φησι περὶ Θηβαίων τὸ αὐτὸ τοῦτο, ὅτι τοὺς αὐτόχειρας ἑαυτῶν γινομένους οὐκ ἐτίμων. Τὸ οὖν· « Ἵνα ἥρως γένῃ » κατ' εὐφημισμὸν εἴρηται.

Eadem, Aristotelis mentione omissa, Plutarch. Prov. 47. Cf. Photius p. 590, 22. Suidas s. v. Apostol. Prov. XVI, 72. Greg. Cypr. III, 80.

124 (494).

Plutarch. Pelopid. c. 18 : Τὸν δ' ἱερὸν λόχον, ὥς φασι, συνετάξατο Γοργίδας πρῶτος... Ἔνιοι δέ φασιν ἐξ ἐραστῶν καὶ ἐρωμένων γενέσθαι τὸ σύστημα τοῦτο... Λέγεται δὲ καὶ τὸν Ἰόλεων τοῦ Ἡρακλέους ἐρώμενον ὄντα κοινωνεῖν τῶν ἄθλων καὶ παρασπίζειν. Ἀριστοτέλης δὲ καὶ καθ' αὑτὸν ἔτι φησὶν ἐπὶ τοῦ τάφου τοῦ Ἰόλεω τὰς καταπιστώσεις ποιεῖσθαι τοὺς ἐρωμένους καὶ τοὺς ἐραστάς.

Idem iterum Erotic. c. 17 : Ἡρακλέους δὲ τοὺς μὲν ἄλλους ἔρωτας ἔργον ἐστὶν εἰπεῖν διὰ πλῆθος, Ἰόλαον δὲ νομίζοντες ἐρώμενον αὐτοῦ γεγονέναι μέχρι νῦν σέβονται καὶ τιμῶσιν ἔρωτος ὅρκους τε καὶ πίστεις ἐπὶ τοῦ τάφου παρὰ τῶν ἐρωμένων λαμβάνοντες.

Ad dialogum Ἐρωτικόν inscriptum hæc retulit Rosius, nulla satis idonea causa. Illa καθ' αὑτόν quod in priore loco invenitur, μέχρι νῦν in altero, non infrequentia in Rebuspublicis fuisse videntur. Cf. 89. 137, 155, 158 et Νόμιμα Τυρρηνῶν, fr. 2.

(ΙΑΣΕΩΝ.)

125 (495).

Schol. cod. Ven. B et Lips. in Iliad. β, 116 : Ἐς δεκάδας διακοσμηθεῖμεν : Ἔθος πλείους τῶν δέκα μὴ συνεσθίειν, ὡς καὶ Ἀριστοτέλης ἐν Πολιτείαις φησίν.

Hæc ex Iasensium Republica desumpta esse conjecit Grashofius l. l. p. 151, propter Heraclidis Pontici excerptum p. 28, 10 Schneidew. : Ἰασέων : Τούτοις οὐκ ἐξῆν ἐν γάμοις πλείους ἑστιᾶν [τῶν] δέκα καὶ γυναικῶν ἴσων, οὐδὲ γάμους ποιεῖν πλεῖον ἡμερῶν δύο.

123.

Quidni te suspendisti ut Thebis heros fieres? Hujus Plato in Menelao meminit. Referunt enim Thebis mortem qui sibi consciscerent, infames habitos. Idem de Thebanis Aristoteles quoque commemorat, nempe qui sibi manus attulissent, nullo in honore fuisse. Illud itaque « Ut heros fieres, » per euphemismum dictum est.

124.

Sacram cohortem, ut tradunt, Gorgidas primus congregavit... Alii autem dicunt eam ex iis conflatam esse qui se mutuo amarent... Ferunt etiam Iolaum Herculis amasium una cum eo certamina obiisse, auxiliumque tulisse amatori. Et Aristoteles sua etiam ætate ait apud sepulcrum Iolai amatores et amasios mutua se fide obligare.

IASENSIUM.

125.

Mos erat (*apud Iasenses*) non ultra decem convivio adhibere ut Aristoteles in Rebuspublicis ait.

ΙΘΑΚΗΣΙΩΝ.

126 (496).

Etymol. Magn. p. 144, 22 : Ἀρκείσιος : Ὁ ἥρως, ὁ πάππος Ὀδυσσέως. Παρὰ τὸν ἀρκέσω μέλλοντα Ἀρκέσιος καὶ Ἀρκείσιος. Οὕτως Ἡρωδιανός. Ἀριστοτέλης δὲ ἐν τῇ Ἰθακησίων Πολιτείᾳ, τὸν Κέφαλον οἰκοῦντα ἐν ταῖς ἀπ' αὐτοῦ κληθείσαις Κεφαλληνίαις νήσοις ἄπαιδα ἐπιπολὺ ὄντα, ἐρόμενον τὸν θεὸν κελευσθῆναι ᾧ ἂν ἐντύχῃ θήλει συγγενέσθαι· παραγενόμενον δὲ εἰς τὴν πατρίδα καὶ δὴ ἐντυχόντα ἄρκτῳ κατὰ χρησμὸν συγγενέσθαι, τὴν δὲ ἐγκύμονα γενομένην μεταβαλεῖν εἰς γυναῖκα καὶ τεκεῖν παῖδα Ἀρκείσιον, ἀπὸ ἄρκτου.

Eadem Eudocia Viol. p. 394. Cf. Eustath. in Odyss. p. 1756, 54, 1961, 15. Brevius rem narrat Joann. Tzetzes in scholiis ad Antehomerica sua p. 34 ed. Schirach : Κεφαλλῆνες λέγονται ἀπὸ Κεφάλου τοῦ Δηιονέως, τοῦ Ἀρκεισίου πατρός· κυριεύσας γὰρ τῆς χώρας οὕτως αὐτὴν ὠνόμασε. Τούτῳ τῷ Κεφάλῳ ἄπαιδι ὄντι ἐδόθη χρησμὸς παιδοποιῆσαι μιγέντα τῷ ἐντυχόντι θήλει· ὃς ἄρκτῳ μιγεὶς τὸν Ἀρκείσιον ἔτεκεν, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων Πολιτείᾳ. Ex Aristotele quoque in Heraclidis excerptis leguntur p. 27, 10 Schneidew. : Κεφάλῳ μαντευσαμένῳ περὶ παίδων ὁ θεὸς εἶπεν, ᾧ ἂν ἐντύχῃ (θήλει ins. Coraes) πρῶτον συγγενέσθαι. Τὸν δὲ περιτυχεῖν ἄρκτῳ καὶ πλησιάσαντα γεννῆσαι γυναῖκα, ἐξ ἧς τὸν Ἀρκείσιον φερωνύμως ὀνομασθῆναι. Cf. Müller. ad. h. l. t. II, p. 223.

127 (497).

Eustath. in Odyss. π, 118 p. 1796, 36 ed. Rom. : Ἰστέον δὲ ὅτι γενεαλογοῦσι Διὸς μὲν καὶ Εὐρυοδείας Ἀρκείσιον, αὐτοῦ δὲ καὶ Χαλκομεδούσης Λαέρτην, τοῦ δὲ καὶ Ἀντικλείας Ὀδυσσέα, οὗ καὶ Πηνελόπης Τηλέμαχον, αὐτοῦ δὲ καὶ Πολυκάστης τῆς Νέστορος Περσέπτολιν, ὡς Ἡσίοδος (fr. 100 Dübn.)

Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐΰζωνος Πολυκάστη
Νέστορος ὁπλοτάτη κούρη Νηληϊάδεω,
Περσέπολιν μιχθεῖσα διὰ χρυσέην Ἀφροδίτην.

Ἀριστοτέλης δὲ ἐν Ἰθακησίων Πολιτείᾳ καὶ Ἑλλάνικος (fr. 141) δὲ Τηλέμαχόν φασι Ναυσικάαν γῆμαι τὴν Ἀλκινόου καὶ γεννῆσαι τὸν Περσέπτολιν. Eadem Eudocia Viol. p. 77 : Ἀριστοτέλης δὲ καὶ Ἑλλάνικος. Dictys Cret. de Bello Trojano VI, 6 : *Neque multo post precibus atque hortatu Ulyssis, Alcinoi filia Nausicaa Telemacho denubit.*

128 (498).

Plutarch. Quæst. græc. c. 14 : Τίνες οἱ παρ' Ἰθακησίοις Κολιάδαι καὶ τίς ὁ Φάγιλος; Τῷ Ὀδυσσεῖ μετὰ τὴν μνηστηροφονίαν οἱ ἐπιτήδειοι τῶν τεθνηκότων ἐπανέστησαν, μεταπεμφθεὶς δ' ὑπ' ἀμφοτέρων διαιτητὴς Νεοπτόλεμος ἐδικαίωσε τὸν μὲν Ὀδυσσέα μεταναστῆναι καὶ φεύγειν ἐκ τῆς Κεφαλληνίας καὶ Ζακύνθου καὶ Ἰθάκης ἐφ' αἵματι, τοὺς δὲ τῶν μνηστήρων ἑταίρους καὶ οἰκείους ἀποφέρειν ποινὴν Ὀδυσσεῖ τῶν εἰς τὸν οἶκον ἀδικημάτων καθ' ἕκαστον ἐνιαυτόν. Αὐτὸς μὲν οὖν εἰς Ἰταλίαν μετέστη, τὴν δὲ ποινὴν τῷ υἱεῖ καθιερώσας, ἀποφέρειν ἐκέλευσε τοὺς Ἰθακησίους· ἦν δ' ἄλφιτα, οἶνος, κηρία, ἔλαιον, ἅλες, ἱερεῖα πρεσβύτερα φαγίλων. Φάγιλον δέ φησιν Ἀριστοτέλης τὸν ἀμνὸν εἶναι. Τοὺς δὲ περὶ Εὔμαιον ἐλευθερώσας ὁ Τηλέμαχος κατέμιξεν εἰς τοὺς πολίτας καὶ τὸ γένος ἐστὶ Κολιαδῶν ἀπ' Εὐμαίου καὶ Βουκολιδῶν ἀπὸ Φιλοιτίου.

Apud Plutarchum Βουκολιῶν legitur; mutavit Rosius, collato Eustath. in Iliad. p. 1018, 47 ubi Βουκολίδης. Cf. Hesychii glossa : Φάγιλος : ἀμνός et Eustath. in Odyss. p. 1625, 38 : Ἔνιοι δέ φασι, καὶ φαγίλους καλοῦσι (τοὺς ἀμνοὺς scil.), ut recte reposuit Nauckius, *Aristoph. Byz. fragm.* p. 107, pro φανυλούς.

ITHACENSIUM.

126.

Aristoteles in Ithacensium Republica narrat Cephalum in Cephalleniis, quæ ab ipso nominantur insulis habitantem, quum diu liberorum expers esset, consuluisse deum, qui imperasset ei ut cum femina, quæ primum fieret obviam, coiret. Reversus in patriam ursæque obviam factum, ex jussu oraculi cum ea coiisse. Hanc autem uterum gerentem in mulierem esse mutatam et genuisse filium, qui ἀπὸ ἄρκτου sive ab ursa nominatus sit Arcisius.

127.

Nimirum genealogiam ita constituunt, ut Jovis et Euryodiæ sit filius Arcisius, hujus et Chalcomedusæ Laertes, hujus et Anticliæ Ulysses, hujus et Penelopes Telemachus, hujus et Polycastes Nestoris filiæ Perseptolis ut Hesiodus dicit. Aristoteles vero in Ithacensium Republica et Hellanicus Telemachum aiunt Nausicaam duxisse Alcinoi filiam et ex ea genuisse Perseptolin.

128.

Quinam sint apud Ithacenses Coliadæ, et quis Phagilus? Adversus Ulyssem procorum ab ipso necatorum necessarii seditionem moverunt. Arbiter adscitus ab utraque parte Neoptolemus, judicavit debere Ulyssem ut sanguine inquinatum exsulare Cephallenia, Zacyntho atque Ithaca : socios autem et familiares procorum quotannis pro damno rei familiaris Ulyssis illato, ei pendere mulctam. Itaque Ulysses in Italiam commigravit, mulctam filio dedicavit, eique ab Ithacensibus solvi jus-

129 (499).

Plutarch. Quæst. gr. c. 34 : Τίς ὁ βοῦν εὐεργέτῃ θύσας; Πλοῖον ὥρμει περὶ τὴν Ἰθακησίαν λῃστρικόν, ἐν ᾧ πρεσβύτης ἐτύγχανε μετὰ κεραμίων ἐχόντων πίτταν. Τούτῳ οὖν κατὰ τύχην προσέσχε πορθμεὺς Ἰθακήσιος, ὀνόματι Πυῤῥίας, καὶ τὸν πρεσβύτην ἐρρύσατο, μηδενὸς δεόμενος, ἀλλὰ πεισθεὶς ὑπ' αὐτοῦ καὶ οἰκτείρας· προσέλαβε δὲ καὶ τῶν κεραμίων, τοῦ πρεσβύτου κελεύσαντος. Ἀπαλλαγέντων δὲ τῶν λῃστῶν, καὶ γενομένης ἀδείας ὁ πρεσβύτης τοῖς κεραμίοις τὸν Πυῤῥίαν προσαγαγών, χρυσίον ἐδείκνυεν ἐν αὐτοῖς πολὺ καὶ ἀργύριον τῇ πίττῃ καταμεμιγμένον. Ἐξαίφνης οὖν ὁ Πυῤῥίας πλούσιος γενόμενος τά τε ἄλλα εὖ περιεῖπε τὸν γέροντα, καὶ βοῦν ἔθυσεν αὐτῷ. Ὃ καὶ παροιμιαζόμενον λέγουσιν· Οὐδεὶς εὐεργέτῃ βοῦν ἔθυσεν, ἀλλ' ἢ Πυῤῥίας.

Ad Aristotelem hæc referenda esse, licet ejus nomen non addatur, optime perspexit Schneidewinus, teste usus Heraclide, in cujus excerptis hæc leguntur, p. 27, 14 : Ἰθακησίων... Πορθμεύς, Πυρίας ὄνομα, λῃστὰς διεπόρθμευσε, πρεσβύτην αἰχμάλωτον καὶ πίτταν· καὶ ὠνεῖται ταῦτα παρὰ τῶν λῃστῶν, δεηθέντος τοῦ πρεσβύτου. Ἦν δὲ ἐν τῇ πίττῃ κεκρυμμένον χρυσίον. Πλουτήσας οὖν θῦσαι λέγεται τῷ πρεσβύτῃ βοῦν· διὸ καὶ εἰς παροιμίαν ἦλθεν· « Οὐδεὶς πώποτε εὐεργέτῃ βοῦν ἔθυσεν ἀλλ' ἢ Πυρίας. »

130 (500).

Tzetzes ad Lycophron. v. 799 : Μάντιν δὲ νεκρὸν (Εὐρυτὰν στέψει λεώς) : Ἀριστοτέλης φησὶν ἐν Ἰθακησίων Πολιτείᾳ Εὐρυτᾶνας ἔθνος εἶναι τῆς Αἰτωλίας ὀνομασθὲν ἀπὸ Εὐρύτου, παρ' οἷς εἶναι μαντεῖον Ὀδυσσέως. Τὸ δ' αὐτὸ καὶ Νίκανδρος ἐν Αἰτωλικοῖς. Cf. Thucydid. III, 94. Steph. Byz. s. v. et Odyss. φ, 32.

131 (501).

Photius p. 525, 21 s. v. Σκυτάλη : Ἐπιστολὴ Λακωνική. Ἦν δὲ ἡ σκυτάλη ξύλον ἐξεσμένον ἐπίμηκες. Δύο δὲ παρὰ Λακεδαιμονίοις ὑπῆρχον σκυτάλαι· καὶ τὴν μὲν μίαν κατεῖχον οἱ ἔφοροι τῶν Λακεδαιμονίων, τὴν δὲ ἑτέραν τῷ ἐκπεμπομένῳ παρ' αὐτῶν στρατηγῷ παρεῖχον. Καὶ ὁπότε ἐβούλοντό τι ἐπιστεῖλαι αὐτῷ, φέροντες ἱμάντα λευκὸν περιεῖλλον (Rosius e conject. περιείλουν) τὴν σκυτάλην καὶ ἐπὶ τοῦ ἱμάντος ἔγραφον, καὶ ἀνελίττοντες παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι. Τοῦτο δὲ ἐποίουν ἵνα μὴ μανθάνωσιν οἱ ἀποφέροντες τὸ δηλούμενον ἐν αὐτῷ. Ὁ δὲ στρατηγὸς δεχόμενος τὸν ἱμάντα τῇ ἑαυτοῦ σκυτάλῃ περιείλιττε καὶ ἀνεγίνωσκεν οὕτω τὰ γεγραμμένα. Λέγεται οὖν καὶ ἡ ἐπιστολὴ σκυτάλη καὶ αὐτὸ τὸ ξύλον ἀφ' οὗ καὶ ἡ ἐπιστολή. Διοσκουρίδης δὲ ἐν τοῖς περὶ Νομίμων τοὺς δανείζοντας ἐν Σπάρτῃ διαιρεῖν σκυτάλην δύο παρόντων μαρτύρων καὶ γράφειν τὸ συμβόλαιον ἐν ἑκατέρῳ τμήματι, καὶ τὸ μὲν ἑνὶ τῶν μαρτύρων διδόναι, τὸ δὲ δι' ἑαυτοῦ ἔχειν. Ἐχρῶντο δ' αὐτῷ (corrig. αὐτῇ) καὶ ἄλλοι, ὧν Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων Πολιτείᾳ μβ'. Eadem Suidas, e quo fortasse scribendum ἀλλοίως, ὡς. Pro μβ' quod in Photii et Suidæ libris legitur, μνημονεύει scripsit Naber, C. Müllerum secutus, ita corrigentem, in Fragm. Hist. gr. t. II, p. 147. Priora e Lacedæmoniorum Republica fluxisse Rosius putat. Ceterum cf. Gellii Noct. Att. XVII, 9, Schol. Ari-

---

sit : erat autem farina, vinum, favi mellis, oleum, sal, et victimæ adultiores phagilis. Ceterum Aristoteles *phagilum* ait esse agnum. Porro Eumæum cum suis Telemachus libertate donatum civibus inseruit : estque ab Eumæo Coliadarum gens, a Philætio Bucolidum.

129.

Quis est qui bovem benefactori immolavit ? Apud Ithacam in statione erat navis piratica, in eaque senex cum testis picem continentibus. Ad hanc forte fortuna portitor appulit Ithacensis, nomine Pyrrhias, qui senem nullius sui commodi causa, sed precibus et miseratione illius inductus redemit, cadorum etiam nonnullis hortatu ejus emptis. Postquam discessu prædonum data est licentia, senex Pyrrhiam ad fictilia ista adduxit, ostenditque multum auri argentique pici permixtum. Ita Pyrrhias subito ditatus, cum aliis officiis senem coluit, tum bovem ei immolavit. Hinc proverbio dicunt : Nemo benefactori bovem immolavit præter Pyrrhiam.

130.

Aristoteles dicit in Ithacensium Republica Eurytanes populum esse Ætoliæ, ab Euryto nominatum, apud eosque esse oraculum Ulyssis.

131.

Σκυτάλη. Epistola Laconica. Scytale autem lignum erat politum et oblongum. Duæ vero scytalæ erant apud Lacedæmonios : quarum alteram ephori Lacedæmoniorum retinebant, alteram vero tradebant duci, quem ad bellum emittebant. Quoties igitur aliquid ei mandare vellent, afferebant album lorum, quo scytalen involvebant, et in eo scribebant. Deinde lorum replicantes tabellario tradebant; hoc autem faciebant ne tabellarii scire possent, quid in eo scriptum esset. Dux vero lorum suum accipiens circa suam scytalen circumvolvebat, et ita res in eo scriptas cognoscebat. Dicitur igitur scytale et epistola et ipsum lignum, in quo scripta est epistola. Dioscorides vero in libro de Institutis dicit, fœneratores Spartæ dividere scytalen, duobus testibus præsentibus, et in utraque ejus parte contractum scribere; et alteram quidem uni ex testibus dare, alteram vero sibi reservare. Ute-

stoph. Aves, 1283, Lysistr. 991, Schol. Thucyd. I, 131. Apud Schol. Pind. Olymp. VI, 154 : Ἄλλοι δὲ ὅτι ἐχρῶντο πλατείαις σκυτάλαις οἱ Λάκωνες ἐγγράφοντες αὐτῶν (αὐταῖς?) τὰς ἐπιστολὰς καὶ ἐγκλείοντες εἰς σκύτινα ἀγγεῖα καὶ οὕτω σφραγίζοντες.

ΙΜΕΡΑΙΩΝ.

132 (502).

Pollux IV, 174 et IX, 80, cujus verba jam supra in Agrigentinorum Republica apposuimus.

ΚΕΙΩΝ.

132ᵃ (502ᵃ).

Κείων πολιτεία a Sopatro in Excerptis apud Photium nominatur. Vide supra fr. 105ᵇ. Male *Κίων* scribitur.

133 (503).

Schol. Theocriti Id. V, 53 : Στασῶ (δὲ κρατῆρα μέγαν λευκοῖο γάλακτος ταῖς νύμφαις, στασῶ δὲ καὶ ἁδέος ἄλλον ἐλαίω) : Παρόσον ἔλαιον ἐκτίθησι ταῖς νύμφαις· αὗται γὰρ ἐκθρέψασαι τὸν Ἀρισταῖον ἐδίδαξαν τὴν τοῦ ἐλαίου ἐργασίαν καὶ μέλιτος, ὥς φησιν Ἀριστοτέλης.

Ex Ceorum Republica hæc desumpta esse monstravit Bournot. l. l. p. 269, collatis Heraclidis Excerptis p. 13, 16 : Κείων... Ἀρισταῖον δέ φασι μαθεῖν παρὰ μὲν νυμφῶν τὴν προβάτων καὶ βοῶν ἐπιστήμην, παρὰ δὲ Βρισῶν τὴν μελιττουργίαν· φθορᾶς δὲ οὔσης φυτῶν καὶ ζώων διὰ τὸ λείπειν ἐτησίας. Quæ hîc desunt leguntur in Valerii Probi Comm. ad Virg. Georg. I, 14, p. 28, 20 Keil. Rem tetigit Theophrastus de Ventis c. 14 : Εἰ δέ ποτ' ἐξέλιπον καὶ Ἀρισταῖος αὐτοὺς ἀνεκαλέσατο θύσας τὰς ἐν Κέῳ θυσίας τῷ Διί, καθάπερ μυθολογεύουσιν. Cf. Clem. Alex. Stromat. VI, p. 267 Sylb. : Ἱστοροῦσιν Ἕλληνες ἐκλειπόντων ποτὲ τῶν ἐτησίων ἀνέμων Ἀρισταῖον ἐν Κέῳ θῦσαι ἰκμαίῳ Διί· πολλὴ γὰρ ἦν φθορὰ φλογμῷ διαπιμπραμένων πάντων καὶ δὴ καὶ τῶν ἀναψύχειν τοὺς καρποὺς εἰωθότων ἀνέμων μὴ πνεόντων ῥᾳδίως αὐτοὺς ἀνεκαλέσατο. De mellis et olei studio Aristæi multi narrant. Ita Schol. in Apollon. Rhod. II, 498 : Ἀρισταῖος δὲ ἐν Κέῳ εὑρὼν τὰ μελισσουργικὰ πρῶτος καὶ τὴν τοῦ ἐλαίου κατεργασίαν, καὶ κατακαλεσάμενος τοὺς ἐτησίας Ζεὺς Ἀρισταῖος ἐκλήθη καὶ Ἀπόλλων Ἀγρεὺς καὶ Νόμιος, Schol. Pind. Pyth. IX, 113, Plin. H. Nat. VII, 57 : *Oleum et trapetas Aristæus Atheniensis, idem mella (invenit)*, Etym. M. p. 213, 55 : Βρῖσαι. Νύμφαι οὕτω καλούμεναι ἢ ὅτι βλίσαι, καὶ γὰρ μελισσουργίαν αὗται τὸν Ἀρισταῖον ἐδίδαξαν, τροπῇ τοῦ λ εἰς ρ· ἢ παρὰ τὸ βρύειν, ὅ ἐστιν ἀνθεῖν τὴν ἐλαίαν, ἧς τὴν ἐργασίαν καὶ αὐτὴν ὑπέδειξεν Ἀρισταῖος τὴν διὰ τῆς ἀμβροσίας· ἢ ἀπὸ τοῦ βρίξαι καὶ κατακοιμίσαι αὐτὸν καὶ καταβαυκαλίσαι, ὅτι ἐτιθήνουν αὐτόν.

ΚΕΡΚΥΡΑΙΩΝ.

134 (504).

Schol. Laurent. Apollonii Rhod. IV, 983 : Ἧ ὕπο δὴ κεῖσθαι δρέπανον φάτις : ἡ νῆσος ἡ Κέρκυρα. Αὕτη πρότερον Σχερία ἐκαλεῖτο. Ἀποδίδωσι δὲ τὴν αἰτίαν Ἀριστοτέλης ἐν τῇ Κερκυραίων Πολιτείᾳ. Φησὶ γὰρ τὴν Δήμητρα φοβουμένην μὴ οἱ ἐκ τῆς ἠπείρου ἐρχόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι Ποσειδῶνος ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα· ἐπισχεθέντων οὖν τούτων, ἀντὶ Δρεπάνης Σχερίαν ὀνομασθῆναι. Δρεπάνη δὲ ἐκαλεῖτο διὰ τὴν Δήμητρα αἰτησαμένην δρεπάνην παρ' Ἡφαίστου τοὺς Τιτᾶνας διδάξαι θερίζειν, εἶτα αὐτὴν κρύψαι εἰς τὸ παραθαλάσσιον μέρος τῆς νήσου. Προσκλυζούσης δὲ τῆς θαλάσσης ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς δρεπάνῃ. Τίμαιος δέ φησιν, ἐκ τοῦ δρεπάνου ᾧ ἐξέτεμε τοῦ Οὐρανοῦ ἢ τοῦ Κρόνου τὰ αἰδοῖα ὁ Ζεύς, τοῦτο (γὰρ αὐτοῦ add. e Schol. Florent.) κεκρύφθαι.

Priorem tantum partem ad ὀνομασθῆναι usque Steph. Byzant. v. Σχερία : ἡ Φαιακία. Κέκληται, ὡς Ἀριστοτέλης φησίν, ἀπὸ τοῦ τὴν Δήμητρα φοβουμένην κτέ· apud quem pro ἐρχόμενοι, ἐπιχεόμενοι legitur, et ex eo Eustath. in Odyss. p. 1521, 36.

---

bantur autem scytala etiam alio modo, ut Aristoteles in Ithacensium Republica XLII.

CEORUM.

133.

Nymphæ Aristæum educaverunt eumque olearum culturam et mellificium docuerunt, ut dicit Aristoteles.

CORCYRÆORUM.

134.

Corcyra antiquitus Drepane nominabatur, deinde Scheria. Causam rei tradit Aristoteles in Corcyræorum Republica. Dicit enim Cererem metuentem ne fluviorum Epiroticorum alluvie insula continenti jungeretur, e Neptuno petiisse, ut fluviorum cursus averteret. Inhibitis igitur (ἐπισχεθέντων) fluviis Drepanem mutato nomine Scheriam appellatam esse. Drepane vero nominabatur propterea, quod Ceres falce a Vulcano petita Titanas metere docuit, deinde autem, quum falcem in maritimo insulæ loco abscondisset, maris affluxu formam insulæ falci assimilatam esse.

135 (505).

Schol. Aristoph. Aves 1463 : Κορκυραῖα : Λέγεταί τις Κορκυραία μάστιξ. Συνεχῶς δὲ παρὰ Κορκυραίοις ἀταξίαι γίνονται· διὰ τὸ στασιάζειν οὖν ἐπεπόλασε παρ' αὐτοῖς ἡ μάστιξ, ὥστε διπλαῖς χρῆσθαι μεγάλαις καὶ ἐλεφαντοκώποις. Ἄλλως. Λέγεταί τις Κορκυραία μάστιξ. Φρύνιχος Σατύροις· « Κορκυραῖαι δ' οὐδὲν ἐπιβάλλουσι μάστιγες. » Ὥστε καὶ εἰς παροιμίαν ἤδη ἐλθεῖν. Ἀριστοτέλης δὲ τὸ Κορκυραία μάστιξ λέγων φησὶν οὕτως· « Διὸ καὶ τὰς κώπας αὐτῶν ἐλεφαντίνας ἐποιήσαντο καὶ τῷ μεγέθει περιττάς· ὅθεν ἡ Κορκυραία ἐπεπόλασε μάστιξ καὶ εἰς παροιμίαν ἦλθε. » Ταῦτα δὲ λέγων τύπτει αὐτόν.

Codices Ἀριστοφάνης, quod defendit Nauckius, *Aristoph. Byz. Fragm.*, p. 239. Ἀριστοτέλης bene scriptum invenitur apud Zenobium Prov. IV, 49 et Hesychium v. Κερκυραία μάστιξ : Περιττήν τινα κατασκευὴν εἶχον αἱ Κερκυραῖαι μάστιγες. Οἱ δὲ καὶ διπλᾶς αὐτὰς ἔφασαν εἶναι, εἶχον δὲ ἐλεφαντίνας κώπας καὶ τῷ μεγέθει περιτταὶ ἦσαν. Ὑπερηφάνους γὰρ εὐπραγοῦντας τοὺς Κερκυραίους φησὶν Ἀριστοτέλης γενέσθαι.

Diversa est proverbii explicatio quæ legitur apud Strabonem, Fragm. Palat. 3, p. 274 Müller: Ὅτι ἡ παροιμία, τὸ ἐν Δωδώνῃ χαλκεῖον ἐντεῦθεν ὠνομάσθη· χαλκεῖον ἦν ἐν τῷ ἱερῷ ἔχον ὑπερκείμενον ἀνδριάντα, κρατοῦντα μάστιγα χαλκῆν, ἀνάθημα Κερκυραίων· ἡ δὲ μάστιξ ἦν τριπλῆ, ἁλυσιδωτή, ἀπηρτημένους ἔχουσα ἐξ αὐτῆς ἀστραγάλους, οἳ πλήττοντες τὸ χαλκεῖον συνεχῶς, ὁπότε αἰωροῖντο ὑπὸ τῶν ἀνέμων, μακροὺς ἤχους ἀπειργάζοντο, ἕως ὁ μετρῶν τὸν χρόνον ἀπὸ τῆς ἀρχῆς τοῦ ἤχου μέχρι τέλους καὶ ἐπὶ τετρακόσια προέλθοι· ὅθεν καὶ ἡ παροιμία ἐλέχθη· Ἡ Κερκυραίων μάστιξ. Quomodo factum sit, ut hîc Κερκυραία μάστιξ et Δωδωναῖον χαλκεῖον commisceantur equidem ignoro, illud vero adjiciam nomen Aristotelis male apud Schol. B Iliad. π, 233, p. 449, A, 46 Bekk., Eustath. ad Odyss. p. 1760, 55, Suidam s. v. Δωδωναῖον χαλκεῖον, Zenobium Prov. VI, 5, Apostolium VI, 42, in alterius proverbii explicatione afferri, pro Aristidis, quem e Polemone sua exscripsisse testatur Stephanus Byz. s. v. Δωδώνη. Cf. Preller. ad Polemonis fragm. p. 59 sq.

ΚΙΑΝΩΝ.

136 (506).

Schol. Apollon. Rhod. I, 1177 : Κιανίδος : Περιφραστικῶς τὴν Κίον· ἔστι δὲ πόλις Μυσίας ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Κιανῶν Πολιτείᾳ. Κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοί, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι. Aristotelis nomine omisso, eadem Etymol. M. p. 512, 37.

ΚΟΛΟΦΩΝΙΩΝ.

137 (507).

Athenæus XIV, p. 618, E : Ἦν δὲ καὶ ἐπὶ ταῖς αἰώραις τις ἐπ' Ἠριγόνῃ ἣν καὶ ἀλῆτιν λέγουσιν ᾠδήν. Ἀριστοτέλης γοῦν ἐν τῇ Κολοφωνίων Πολιτείᾳ φησίν· « Ἀπέθανε δὲ καὶ αὐτὸς ὁ Θεόδωρος ὕστερον βιαίῳ θανάτῳ· λέγεται δὲ γενέσθαι τρυφῶν τις, ὡς ἐκ τῆς ποιήσεως δῆλόν ἐστιν· ἔτι γὰρ καὶ νῦν αἱ γυναῖκες ᾄδουσιν αὐτοῦ μέλη περὶ τὰς αἰώρας. »

Cf. Pollux IV, 55 : Ἦν δέ τι καὶ ἀλῆτις ᾆσμα ταῖς αἰώραις προσᾳδόμενον, Θεοδώρου ποίημα τοῦ Κολοφωνίου.

(ΚΟΡΙΝΘΙΩΝ.)

138 (508).

Diogen. Laertius I, 98 : Οὗτος (ὁ Περίανδρος

135.

Dicitur scutica quædam Corcyræa. Nimirum quum continuæ apud Corcyræos seditiones essent, scuticæ usus apud eos invaluit, adeo ut duplices et permagnas eburneisque manubriis instructas usurparent. *Aliter*. Dicitur scutica quædam Corcyræa... Aristoteles proverbiale illud Corcyræa scutica commemorans ait : « Quapropter etiam eburneis manubriis instruxerunt eas eximiæque fecerunt magnitudinis. Unde Corcyræa scutica invaluit et in proverbium abiit. Corcyræi ob prosperitatem superbiebant ut Aristoteles ait.

CIANORUM.

136.

Cios, urbs Mysiæ, nomen habet a Cio, qui Milesiorum coloniam eo deduxit, uti tradit Aristoteles in Cianorum Republica. Incoluere eam primum Mysi, deinde Cares, tertii Milesii.

COLOPHONIORUM.

137.

Erat etiam cantilena aliqua quam Aletam vocant et Oscillorum festis diebus canunt in honorem Erigonæ. Aristoteles in Colophoniorum Republica ait : « Mortuus vero est deinde ipse etiam Theodorus morte violenta. Dicitur autem fuisse homo luxuriæ indulgens, quod etiam ex carminibus ejus patet. Nam etiamnum mulieres carmina ejus canunt Oscillorum festis diebus. »

(CORINTHIORUM.)

138.

Periander primus satellites habuit et rempublicam in

scil.) πρῶτος δορυφόρους ἔσχε καὶ τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησε καὶ οὐκ εἶα ἐν ἄστει ζῆν τοὺς βουλομένους, καθά φησιν Ἔφορος καὶ Ἀριστοτέλης.

Hæc, licet similia legantur in Aristotelis Politic. V, c. 9 § 2, ex opere de Rebuspublicis ducta esse docent Excerpta Heraclidis, quæ ad verba consentiunt, p. 11, 8: Κορινθίων :... Περίανδρος δὲ πρῶτος μετέστησε τὴν ἀρχὴν δορυφόρους ἔχων, καὶ οὐκ ἐπιτρέπων ἐν ἄστει ζῆν, ἔτι δὲ δούλων κτήσεις, καὶ τρυφὴν ὅλως περιαιρῶν. Μέτριος δὲ ἦν ἐν ἄλλοις, τῷ τε μηδένα τέλος πράσσεσθαι ἀρκεῖσθαί τε τοῖς ἀπὸ τῆς ἀγορᾶς καὶ τῶν λιμένων. Καὶ τῷ μήτε ἄδικος μήτε ὑβριστὴς εἶναι, μισοπόνηρος δὲ τὰς προαγωγοὺς πάσας κατεπόντισε. Βουλὴν δὲ ἐπ' ἐσχάτων κατέστησεν, οἳ οὐκ ἐφίεσαν δαπανᾶν πλέον ἢ κατὰ τὰς προσόδους. (Cf. Nicol. Damasc. fragm. 59 Müller: Καὶ δορυφόρους εἶχε τριακοσίους. Ἐκώλυέ τε τοὺς πολίτας δούλους κτᾶσθαι καὶ σχολὴν ἄγειν, ἀεί τινα αὐτοῖς ἔργα ἐξευρίσκων.

139 (509).

Diogen. Laert. I, 99: Σωτίων δὲ καὶ Ἡρακλείδης καὶ Παμφίλη ἐν τῷ πέμπτῳ τῶν Ὑπομνημάτων δύο φασὶ Περιάνδρους γεγονέναι, τὸν μὲν τύραννον, τὸν δὲ σοφὸν καὶ Ἀμβρακιώτην. Τοῦτο καὶ Νεάνθης φησὶν ὁ Κυζικηνὸς ἀνεψιούς τε εἶναι ἀλλήλοις. Καὶ Ἀριστοτέλης μὲν τὸν Κορίνθιόν φησιν εἶναι τὸν σοφόν, Πλάτων δὲ οὔ φησι.

Nicol. Damasc. fr. 59: Φασὶ δέ τινες αὐτὸν καὶ τῶν ἑπτὰ σοφῶν γεγονέναι· τὸ δ' οὐκ ἦν. Cf. Clem. Alex. Strom. I, 14, 59, p. 129 Sylb., Suidas s. v., Platon. Protagor. p. 343, A, Diog. Laert. I, 41, 108.

(ΚΡΗΤΩΝ.)

140 (510).

Schol. Theocrit. XIII, 9: Ὅσσα μαθὼν ἀγαθὸς καὶ ἀοίδιμος αὐτὸς ἔγεντο (scil. Ἡρακλῆς): Ἀριστοτέλης φησὶν ὑπὸ Ῥαδαμάνθυος παιδευθῆναι τὸν Ἡρακλέα. Ἡρόδωρος δὲ ὑπὸ τῶν βουκόλων Ἀμφιτρύωνος, τινὲς δὲ ὑπὸ Χείρωνος καὶ Θεστιάδου. Codex Ambrosianus 222 habet Ἀριστοφάνης, cf. Ziegler, *Scholia in Theocrit. cod. Ambr.*, Tub. 1867, p. 79.

Ad Cretensium Rempublicam hoc fragmentum referendum esse videtur, ob ea quæ Apollodorus Biblioth. II, 4, 9, 2 s. narrat.

141 (511).

Schol. Pindari Pyth. II, 127: Τὸ Καστόρειον δ' ἐν Αἰολίδεσσι χορδαῖς... Διέλκεται δὲ ἡ τῆς πυρρίχης ὄρχησις, πρὸς ἣν τὰ ὑπορχήματα ἐγράφησαν. Ἔνιοι μὲν οὖν φασὶ πρῶτον Κουρῆτας τὴν ἔνοπλον ὀρχήσασθαι ὄρχησιν, αὖθις δὲ Πύρριχον Κρῆτα συντάξασθαι, Θάλητα δὲ πρῶτον τὰ εἰς αὐτὴν ὑπορχήματα· Σωσίβιος δὲ τὰ ὑπορχηματικὰ μέλη πάντα Κρητικὰ λέγεσθαι· ἔνιοι δὲ οὐκ ἀπὸ Πυρρίχου τοῦ Κρητὸς τὴν πυρρίχην ὠνομάσθαι, ἀλλ' ἀπὸ Πύρρου τοῦ Ἀχιλλέως παιδὸς ἐν τοῖς ὅπλοις ὀρχησαμένου ἐν τῇ κατὰ Εὐρυπύλου τοῦ Τηλέφου νίκῃ. Ἀριστοτέλης δὲ πρῶτον Ἀχιλλέα ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ τῇ πυρρίχῃ φησὶ κεχρῆσθαι, ἣν παρὰ Κυπρίοις φησὶ πρύλιν λέγεσθαι, ὥστε παρὰ τὴν πυρὰν τῆς πυρρίχης τὸ ὄνομα θέσθαι.

Cum prioribus cf. Strabo X, p. 480. Pro Κυπρίοις, corrigendum esse Κρησί, ostendit Eustathius ad Il. μ, 77, p. 893: Πρυλέες δὲ οἱ ἐν μάχῃ πεζοὶ κατὰ γλῶσσαν Γορτυνίων, ὥς φασιν οἱ παλαιοί, cf. Schol. Victor. ad eund. loc. πρυλέες: οὕτως Γορτύνιοι.

Schol. Victor. ad Il. ψ, 130, p. 608, 11 Bekk.: Χαλκὸν ζώννυσθαι: Ἀριστοτέλης φησὶ τοὺς πρύλεις Ἀχιλλέως. Τοὺς δὲ Ἀχαιοὺς τὸν νόμον εἰς Κρήτην κομίσαι· τῶν γὰρ βασιλέων κηδευομένων αὐτὸς προηγεῖται πυρριχίζων ὁ στρατός. Marius Plotius de Metris p. 2624 Putsch.: *Pyrrhichius pes e duabus brevibus constat temporum duum, ut herus. Qui a pyrrica lusus genere nomen accepit, quia hoc sono milites usi ab armis per ludum, ut ille ait, ciebant simulacra pugnarum. Ipsa tamen pyrrica dicta est a Pyrrho Cydonio, qui primus Cretenses sub armis saltare ad hujus pedis sonum instituit. Alii a Pyrrho Achillis filio, quem dicunt primum in tumulo patris sui armatum honoris gratia salta-*

---

tyrannidem mutavit, neque in urbe habitare plebem permisit, ut dicunt Ephorus et Aristoteles.

139.

Sotion atque Heraclides et Pamphila in quinto Commentariorum duos aiunt fuisse Periandros, tyrannum alterum, alterum vero sapientem, eumque Ambracioten. Idem Neanthes quoque Cyzicenus dicit, addens patrueles sibi invicem fuisse. Porro Aristoteles Corinthium asserit fuisse sapientem, Plato negat.

(CRETENSIUM.)

140.

Aristoteles dicit Herculem a Rhadamantho educatum esse.

141.

Aristoteles dicit primum Achillem ad Patroclis rogum pyrrhiche usum esse, quam saltationem Cypriis (*immo Cretensibus*) prylin appellari ait. Pyrrhicham vero nominatam esse a pyra sive rogo.

visse. Aristoteles autem Achillem ait hujus lusus inventorem fuisse. Quibusdam placet ab ardore, id est a velocitate, sui soni nomen accepisse hunc pedem, ἀπὸ τοῦ πυρός, *id est a flamma, et per hoc a velocitate.* Cf. Hesych. s. v. Πυρριχίζειν : Τὴν ἐνόπλιον ὄρχησιν καὶ σύντονον πυρρίχην ἔλεγον, οἱ μὲν ἀπὸ Πυρρίχου τοῦ Κρητός, οἱ δὲ ἀπὸ τοῦ διάπυρον εἶναι, οἱ δὲ ἀπὸ Πύρρου τοῦ Ἀχιλλέως· ἐφησθέντα γὰρ τῷ Εὐρυπύλου φόνῳ ὀρχήσασθαί φησιν Ἀρχίλοχος, ὅθεν καὶ ὁ πυρρίχιος ποῦς ὠνομάσθη, Etym. M. 699, 1, Etym. Gud. p. 488, 38, Eustath. in Iliad. p. 1078, in Odyss. p. 1697. Nicol. Damasc. fr. 115 Müll.: Τὴν ἐνόπλιον πυρρίχην ἐκπονοῦντες, ἥντιγα πρῶτος εὗρε Πύρριχος Κυδωνιάτης Κρὴς τὸ γένος.

(ΚΡΟΤΩΝΙΑΤΩΝ.)

142 (512).

Schol. Theocrit. IV, 6 : Μίλων : Τὸν Κροτωνιάτην Μίλωνά φησιν, ὃν καὶ Ἀριστοτέλης πολυφάγον φησί· λέγουσι δὲ αὐτὸν εἶναι καὶ ἀνδρεῖον. Κατεβρώθη δὲ οὗτος ὑπὸ θηρίων ἢ κυνῶν· ἐλθὼν γὰρ εἰς ὄρος καὶ εὑρών τινας δένδρον σχίζοντας, σφῆνα δὲ βαλόντας ἐν μέσῳ τοῦ ξύλου, θέλων αὐτὸς ἐκβαλεῖν τὸν σφῆνα ἐκρατήθη ἐκεῖ καὶ οὕτως ἐτελεύτησε.

Eadem Eudocia Viol. p. 291 e Scholiis. Cf. Pausan. VI, 14.

(ΚΥΘΗΡΙΩΝ.)

143 (513).

Stephan. Byz. s. v. Κύθηρα : Νῆσος πόλιν ὁμώνυμον ἔχουσα πρὸς τῇ Κρήτῃ, ἀπὸ Κυθήρου τοῦ Φοίνικος. Ἐκαλεῖτο δὲ Πορφύρουσσα διὰ τὸ κάλλος τῶν περὶ αὐτὴν πορφυρῶν, ὡς Ἀριστοτέλης.

Τῶν περὶ αὐτῶν πορφυρῶν emendatio est Meinekii, pro τὸ περί vel παρὰ τῶν πορφ., ut in codd. legitur. Eustathius, qui eadem e Stephano habet in Il. p. 80, 36 : Διὰ τὸ καλλίστας φέρειν πορφύρας, cf. idem in Il. p. 1024, 17 et in Dionys. Perieg. 198. Plin. Hist. Nat. IV, 19, 56 : *Cythera cum oppido, antea Porphyris appellata.* Cf. Steph. Byz. v. Νίσυρος et de Cytheriis Heraclidis Excerpta c. 24. Ad eandem Rempublicam referenda fortasse est glossa apud Hesychium : Κυθηρο[δίκης] ἀρχή τις τὰ ξενικὰ διοικοῦσα, quanquam et ad Thucydidem IV, 53 pertinere potest.

ΚΥΘΝΙΩΝ.

144 (514).

Harpocration s. v. Κύθνιοι : Δημοσθένης ἐν τῷ περὶ Συντάξεως (§ 34). Κύθνος μία τῶν Κυκλάδων νήσων, ὡς Ἀριστοτέλης ἐν τῇ Κυθνίων Πολιτείᾳ.

Supplenda hæc videntur e Stephano Byz. s. v. Κύθνος· νῆσος πρὸς τῇ Δρυοπίδι τῶν Κυκλάδων, ἀπὸ Κύθνου κτίσαντος. Ἐκαλεῖτο δὲ καὶ Ὀφιοῦσσα καὶ Δρυοπίς.

145 (515).

Zenob. Prov. IV, 83 : Κυθνώλεις συμφοραί : Τοῦτο εἰς παροιμίαν ἦλθε διὰ τὰ Κυθνίοις συμβάντα. Φησὶ γὰρ Ἀριστοτέλης οὕτω κακῶς αὐτοὺς διατεθῆναι ὑπὸ Ἀμφιτρύωνος, ὥστε τὰς μεγάλας συμφορὰς κυθνώλεις καλεῖσθαι.

Similiter Hesychius s. v. Κυθνώλης : ἐξώλης. Ἔνιοι δὲ πεποιῆσθαι τὴν λέξιν φασὶν ἀπὸ Κύθνου τῆς νήσου· ἀπολέσθαι γὰρ αὐτὴν ὑπὸ Ἀμφιτρύωνος. Aliter Helladius in Chrestom. apud Photium Biblioth. p. 533, 14 Bekk. : Ὅτι τὸ Κυθνώλης διὰ τοῦ λ γράφουσιν, ἀλλ' οὐ διὰ τοῦ δ, Ἄργους γὰρ ἦν χωρίον τι καλούμενον Κύθνιον, οὗ τοὺς ἄνδρας ποτὲ Ἀμφιτρύων ἀνεῖλε πάντας πλὴν ὀλίγων πάνυ.

ΚΥΜΑΙΩΝ.

146 (516).

Schol. ABI Euripid. Medea v. 19, t. IV, p. 8, 25 Dind. : Κρέοντος παῖδ' ὃς αἰσυμνᾷ χθονός : Αἰσυμνᾷ ἡγεῖται καὶ ἄρχει : Ἰδίως δέ φησιν Ἀριστο-

---

(CROTONIATARUM.)

142.

Milonem Crotoniatam Aristoteles quoque voracem fuisse dicit.

(CYTHERIORUM.)

143.

Cythera, insula urbem habens ejusdem nominis non procul Cretam versus, a Cythero Phœnice. Appellabatur autem Porphyrussa ob pulchritudinem ostreorum (τῶν πορφυρῶν), ut ait Aristoteles.

CYTHNIORUM.

144.

Cythna una ex Cycladibus, ut Aristoteles ait in Cythniorum Republica.

145.

Κυθνώλεις συμφοραί (*Cythniæ calamitates*). Hoc in proverbium abiit, propter ea quæ Cythniis acciderunt. Dicit enim Aristoteles tam male eos tractatos ab Amphitryone esse, ut magnæ calamitates Cythniæ vocarentur.

CYMÆORUM.

146.

Αἰσυμνᾷ id est imperat et regnat. Proprio autem modo

τέλης ὑπὸ [τῶν] Κυμαίων αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι.

Ex Scholiaste sua habere videtur auctor Etym. M. p. 39, 15. Paulo aliter Argument. Sophocl. Œdip. Tyr. : Ὅτι δὲ νεώτερος τὸ τοῦ τυράννου ὄνομα δῆλον· οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει· ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων Πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορεύεσθαι. Εὐφημότερόν γ' ἐκεῖνο τοὔνομα, cum quo ad verbum consentit Suidas s. v. Τύραννος. Ad Politica hæc potius spectare videntur ubi legitur III, 9, § 5 : Δύο μὲν οὖν εἴδη ταῦτα μοναρχίας· ἕτερον δ' ὅπερ ἦν ἐν τοῖς ἀρχαίοις Ἕλλησιν, οὓς καλοῦσιν αἰσυμνήτας.

147 (517).

Etymol. Magn. 199, 4 s. v. Βλάξ ... Εἰς δὲ τὸ Λεξικὸν τὸ ῥητορικὸν εὗρον ἐγὼ εἰρῆσθαι τὴν λέξιν ἀπὸ ἰχθύος τινὸς ὁμοίου σιλούρῳ, ἀχρήστου δὲ οὕτως ὡς μηδὲ κύνα αὐτῷ χρῆσθαι ... Οἱ δὲ ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου τῆς Βλακείας, οὗ μέμνηται καὶ Ἀριστοτέλης. Καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τι βλακεννόμιον κτέ.

Cf. Suidas et Apostolius IV, 99 s. v. Βλακὸς ἀχρηστότερος et omisso nomine Aristotelis Schol. Platon. Politic. p. 373 Bekk. et Schol. Luciani Dial. mortuor. p. 76 Jacobitz.

ΚΥΠΡΙΩΝ.

148 (518).

Harpocration s. v. Ἄνακτες καὶ ἄνασσαι : Οἱ μὲν υἱοὶ τοῦ βασιλέως καὶ οἱ ἀδελφοὶ καλοῦνται ἄνακτες, αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες ἄνασσαι· Ἀριστοτέλης ἐν τῇ Κυπρίων Πολιτείᾳ.

Cod. E. Ἀρ. ἐν τῇ Κ. π. φησί· « Καλοῦνται — ἄνασσαι. » Eadem Suidas. Cf. Clearchus apud Athenæum VI p. 256, A et Eustath. ad Iliad. p. 947, 50 Rom.

149 (519).

Pollux II, 95 : Ὁ δὲ Νικοκλέους τοῦ Κυπρίου πατήρ, ᾧ τὰς παραινέσεις ὁ Ἀθηναῖος σοφιστὴς (sc. Isocrates) ἔγραψεν, τὸ μὲν ὄνομα αὐτῷ Τίμαρχος ἦν, διστοίχους δ' εἶχεν ἄρα τῷ Ἀριστοτέλους λόγῳ τοὺς ὀδόντας, κατὰ δὲ τὴν Ἴωνος τοῦ Χίου δόξαν τριστοίχους Ἡρακλῆς.

Ex Polluce (quem citat v. 955, Ἰούλιος) Tzetzes Chiliad. III, 961 :

Τίμαρχον τὸν πατέρα δὲ Κυπρίου Νικοκλέους
Ἀριστοτέλης γέγραφε δίστοιχον τοῖς ὀδοῦσιν.

Eadem Plinius Hist. Nat. XI, 63 : *Timarchus Nicoclis filius Paphii duos ordines habuit maxillarum. Frater ejus non mutavit primores ideoque prætrivit.*

ΚΥΡΗΝΑΙΩΝ.

150 (520).

Schol. Aristoph. Pluti 925 : Καὶ τὸ Βάττου σίλφιον : Βάττος Κυρήνην ἔκτισεν ἐλθὼν ἀπὸ Θήρας τῆς κατὰ Κρήτην νήσου· ὃν τιμήσαντες Λίβυες ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον καὶ ἐν νομίσματι (νομίσμασιν habet Eudocia Viol. p. 92, quæ hoc schol. exscripsit) αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλείαν, τῇ δὲ σίλφιον παρὰ τῆς πόλεως δεχόμενον, ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων Πολιτείᾳ. Ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρους καὶ ἐξόχους τιμὰς δεχομένων. — Ἄλλως. Σίλφιον βοτάνη πολυτίμητος· ἡ δὲ αἰτία τοιαύτη ἐστί. Βάττος ὁ καὶ Ἀριστοτέλης πόλιν ἐν Λιβύῃ Κυρήνην ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος χρησμόν. Καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν τῆς εὐερ-

---

Cymæi αἰσυμνήτην summum magistratum vocant, teste Aristotele.

Aristoteles in Cymæorum Republica dicit tyrannos olim αἰσυμνήτας appellatos esse, quoniam id nomen honestius.

147.

Blace ineptior dici nonnulli putant a Blace, loco prope Cumam sito, cujus meminit etiam Aristoteles.

CYPRIORUM.

148.

Filii regis et fratres appellantur ἄνακτες, sorores et uxores ἄνασσαι. Aristoteles in Cypriorum Republica.

149.

Nicoclis Cyprii pater cui admonitiones scripsit Atheniensis sophistes, nomen illi erat Timarcho, ut Aristoteles tradit, duplicem ordinem maxillarum habuit.

CYRENÆORUM.

150.

Battus a Thera, quæ insula e regione Cretæ sita est, profectus Cyrenas condidit. Quem quum in honore Libyes haberent, gratificati ei sunt pulcherrimum olerum, silphium, atque imaginem Batti in nummo expresserunt altera manu potestatem regiam, altera silphium ab urbe accipientem, ut Aristoteles tradit in Cyrenæorum Republica. Hinc etiam proverbium de iis quibus eximii et insignes honores habentur, usurpari solet.

γεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ ἐποίησαν (εἰκόνα· ὡς δέ τινες add. Eudoc.) δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον. Καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ κλάδος καὶ ὁ ὀπὸς καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ πολλῆς τιμῆς ἄξιόν ἐστιν. Καὶ οἱ Ἀμπελιῶται δὲ ἔθνος Λιβύης εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου, ὥς φησιν Ἀλεξανδρίδης. Cf. Suidas s. v. Βάττου σίλφιον· ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων· οἱ γὰρ Κυρηναῖοι ἑνὶ τῶν Βάττων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν· οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου, cum quo faciunt Apostol. Prov. IV, 76, App. Prov. I, 51, Macarius II, 71. Paulo aliter Hesychius s. v. Βάττου σίλφιον· παροιμία ἐπὶ τῶν τὰς ὑπερβαλλούσας τιμὰς εὑρισκομένων. Μετενήνεκται δὲ ἀπὸ τοῦ τοὺς Κυρηναίους ἑνὶ τῶν Βαττιαδῶν μεταδοῦναι ἐξαίρετον τὸ σίλφιον, ὃ ἐκτέτμηται παρ' αὐτοῖς, ὥστε καὶ ἐν τῷ νομίσματι ὅπου μὲν Ἄμμωνα ὅπου δὲ σίλφιον ἐγκεχαράχθαι. Priora tantummodo Lex. Rhet. Seguer. p. 224, 30.

Cum altero Aristophanis Scholiaste conjungendus est Georgius Syncellus Chronograph. t. I, p. 400, 16 Dindorf. : Θηβαῖοι Κυρήνην ᾤκισαν κατὰ χρησμόν· οἰκιστὴς δὲ αὐτῆς Βάττος, ὁ καὶ Ἀριστοτέλης, unde illud perspicitur in Schol. Aristoph. non cum edit. Ald. legendum esse ὡς Ἀριστοτέλης. Ceterum apud Syncellum, pro Θηβαῖοι corrigendum est Θηραῖοι. Cf. Schneidewin. in Heraclid. Pont. p. 59 sq., Spanhem. Not. in Callimachi Hymn. in Apollin. v. 76, R. Rochette *Histoire des colonies grecques*, t. III, p. 259 sqq. Ab hoc Batto sive Aristotele diversus est Aristoteles Cyrenæus de quo loquitur Clemens Alexandr. Stromat. III, p. 192 Sylb., cui vero minime tribuendum erit, ut C. Müllerus volebat l. l. fr. 207, quod in Etymol. M. p. 33, 3 legitur : Αἰθήρ, παρὰ τὸ ἀεὶ θεῖν κυκλοφορικῶς, φησὶν Ἀριστοτέλης περὶ Κυρηναίων. Illud Κυρηναίων falso pro Κόσμου scriptum esse optimo jure conjecit Kulenkampius, quum in libro de Mundo c. 2 (t. III, p. 628, 26) iisdem pæne verbis dicatur : Οὐρανοῦ δὲ καὶ ἄστρων οὐσίαν μὲν αἰθέρα καλοῦμεν .... διὰ τὸ ἀεὶ θεῖν κυκλοφορουμένην. Cf. de Cælo I, 3.

151 (521).

Pollux IX, 60 et 62 : Ἡ μέντοι δραχμὴ εἶχεν ὀβολοὺς ἕξ... Ἦν δὲ οὐ δραχμὴ νόμισμα μόνον, ἀλλὰ καὶ πεντηκοντάδραχμον καὶ πεντάδραχμον παρὰ Κυρηναίοις καὶ τετράδραχμον ἐκαλεῖτο καὶ τρίδραχμον καὶ δίδραχμον. Τὸ παλαιὸν δὲ τοῦτ' ἦν Ἀθηναίοις νόμισμα καὶ ἐκαλεῖτο βοῦς ... ἦν μέντοι, ὡς Ἀριστοτέλης φησίν, ἐν Κυρήνῃ καὶ τετραστάτηρον καὶ στατὴρ καὶ ἡμιστάτηρον χρυσᾶ νομίσματα.

152 (522).

Hesychius s. v. Ἀμμοῦς : ὁ Ζεὺς Ἀριστοτέλης. In Hesychii codice Ἀριστό, superscripto τλ, legitur, quod librarii errore pro Herodoti nomen poni potuisse, apud quem hæc forma exstat II, 42, suspicatur Rosius. Cf. Plutarch. de Isid. c. 9.

153 (523).

Antigon. Mirabil. c. 144 : Τῶν δ' ἐν Ἄμμωνι κρηνῶν λέγειν (φησὶ Καλλίμαχος cf. Antig. c. 129) Ἀριστοτέλη, ὅτι τὴν μὲν Ἡλίου γε νομιζομένην μέσων μὲν νυκτῶν καὶ μεσημβρίας γίγνεσθαι θερμήν, ἕωθεν δὲ καὶ δείλης καθαπερεὶ κρύσταλλον, ἡ δ' ἄλλη διότι καταβαίνοντος μὲν ἡλίου πηγνύει, ἐπὶ δυσμαῖς δ' ἰόντος ἵσταται.

Sotion c. 19 : Ἀριστοτέλης Ἄμμωνος κρήνην εἶναί φησιν, ἧς τὸ μὲν ὕδωρ μεσημβρίας καὶ μεσονυκτίου γίνεσθαι θερμόν, ὃν φύσει ψυχρότατον. Plinius Hist. Nat. II, 106 : *Jovis Hammonis stagnum interdiu frigidum noctibus fervet. In Troglodytis fons Solis appellatur dulcis et circa meridiem maxime frigidus, mox paulatim tepescens ad noctis media fervore et amaritudine infestatur.*

ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ.

154 (524).

Schol. Pindari Isthm. VI, 18 : Ἡ Δωρίδ'

151.

Drachma vero continebat obolos sex... Non autem drachma modo nummi nomen erat sed et pentecontadrachma et pentedrachma apud Cyrenæos et tetradrachma dicebatur et tridrachma et didrachma. Vetus autem erat Atheniensium nummus *bos* appellatus ... Erat vero, ut Aristoteles tradit, apud Cyrenæos et tetrastater et stater et hemistater, nummi aurei.

152.

Ἀμμοῦς (*Ammon*). Jupiter, Aristoteles.

153.

De fontibus apud Ammonem esse ab Aristotele perhibitum (dicit Callimachus) eum qui Solis esse putatur media nocte et media die calescere, mane et vespere instar esse glaciei; alterum vero sole descendente concrescere, stare autem sole ad occasum accedente.

LACEDÆMONIORUM.

154.

Ægidæ gens Thebanorum; ex quo nonnulli Spartam venerunt, ut Lacedæmoniis opitularentur in bello contra Amyclæenses. Ducem Ægidæ isti habuerunt Timomachum, qui primus omnia quæ ad bellum pertinent Lacedæmoniis ordinavit; quapropter magnis apud eos affectus

ἀποικίαν : Αἰγείδας νῦν οὐκ ἂν εἴη λέγων τοὺς Ἀθηναίους· περὶ γὰρ Θηβῶν ὁ λόγος. Καὶ εἰσὶν Αἰγεῖδαι φατρία Θηβαίων ἀφ' ἧς ἧκόν τινες εἰς Σπάρτην Λακεδαιμονίοις βοηθήσοντες ἐν τῷ πρὸς Ἀμυκλαεῖς πολέμῳ, ἡγεμόνι χρησάμενοι Τιμομάχῳ, ὃς πρῶτος μὲν πάντα τὰ πρὸς πόλεμον διέταξε Λακεδαιμονίοις, μεγάλων δὲ παρ' αὐτοῖς ἠξιώθη τιμῶν· καὶ τοῖς Ὑακινθίοις δὲ ὁ χάλκεος αὐτῷ θώραξ προτίθεται· τοῦτον δὲ Θηβαῖοι ὅπλον ἐκάλουν. Ταῦτα ἱστορεῖ καὶ Ἀριστοτέλης ἐν τῇ Λακώνων Πολιτείᾳ. Ἔνιοι δέ φασι τὸν Πίνδαρον νῦν μὴ τοῦ πρὸς Ἀμυκλαεῖς πολέμου μνημονεύειν μηδὲ τῶν σὺν Τιμομάχῳ Αἰγειδῶν, ἀλλὰ τῶν σὺν τοῖς Ἡρακλείδαις εἰς Πελοπόννησον κατελθόντων, ὧν Ἀριστόμαχος ὁ Κλεάδα καὶ Κλεάδας ὁ Ὕλλου ἡγοῦντο· καὶ γὰρ τότε Θήβηθεν ἥκειν τοῖς Δωριεῦσι τοὺς ἀψαμένους τῆς καθόδου Αἰγείδας μετὰ τῶν Ἀθηναίων, εἶναι δὲ τοὺς Θήβηθεν Αἰγείδας τὸ ἀνέκαθεν Ἀθηναίους. Δυεῖν οὖν ἀποστάσεων ἐκ τῆς τῶν Αἰγειδῶν τῶν Θηβαίων (φατρίας inseruit Bœckh.) εἰς Σπάρτην γεγονυιῶν, ἔργον ἀποφήνασθαι ποτέρας ὁ Πίνδαρος νῦν μνημονεύει. Μήποτε δὲ τῆς δευτέρας. Ἀριστοτέλης γάρ φησιν ὅτι πολεμοῦντες οἱ Λάκωνες Ἀμυκλαεῦσιν, ὡς ἐπύθοντο παρὰ θεοῦ τοὺς Αἰγείδας συμμάχους λαβεῖν, εἰς Ἀθήνας ἐπορεύοντο, καταλύσαντες δὲ ἐν Θήβαις εὐωχουμένης τῆς τῶν Αἰγειδῶν φατρίας ἐκλήθησαν. Ἀκούσαντες [δὲ] μετὰ δεῖπνον εὐχομένου τοῦ ἱερέως διδόναι τοῖς Αἰγείδαις τοὺς θεοὺς τὰ ἀγαθὰ καὶ συμβαλόντες τὸν χρησμὸν ἐντεῦθεν ἔλαβον τὴν συμμαχίαν.

Cf. Schol. Pind. Pyth. V, 101 : Διτταὶ δὲ αἱ τῶν Θήβηθεν Αἰγειδῶν εἰς Σπάρτην ἀφίξεις. Προτέρα μὲν ἡ σὺν τοῖς Δωριεῦσι καὶ Ἀριστοδήμῳ ἧς μέμνηται Ἔφορος ἐν τῇ πρώτῃ λέγων (cf. fr. 11 Müller)... ἑτέρα δὲ ἡ σὺν Τιμομάχῳ, ἐν ᾧ πρὸς Ἀμυκλαεῖς Λακεδαιμονίοις καθειστήκει πόλεμος.

155 (525).

Plutarch. V. Lycurgi c. 1 : Ἥκιστα δὲ οἱ χρόνοι καθ' οὓς γέγονεν ὁ ἀνὴρ (ὁ Λυκοῦργος scil.) ὁμολογοῦνται. Οἱ μὲν γὰρ Ἰφίτῳ συνακμάσαι καὶ συνδιαθεῖναι τὴν Ὀλυμπιακὴν ἐκεχειρίαν λέγουσιν αὐτόν, ὧν ἐστὶ καὶ Ἀριστοτέλης ὁ φιλόσοφος τεκμήριον προσφέρων τὸν Ὀλυμπίασι δίσκον, ἐν ᾧ τοὔνομα τοῦ Λυκούργου διασώζεται καταγεγραμμένον. Cf. Heracl. Excerpta p. 6, 12 Schneidew. et Hermippus apud Plutarch. V. Lyc. c. 23.

156 (526).

Clemens Alex. Stromat. I, c. 26, p. 152 Sylb. : Τὸν δὲ Μίνω παρὰ Διὸς δι' ἐννάτου ἔτους λαμβάνειν τοὺς νόμους ἱστοροῦσι φοιτῶντα εἰς τὸ τοῦ Διὸς ἄντρον, τόν τε αὖ Λυκοῦργον τὰ νομοθετικὰ εἰς Δελφοὺς πρὸς τὸν Ἀπόλλωνα συνεχὲς ἀπιόντα παιδεύεσθαι γράφουσι Πλάτων τε καὶ Ἀριστοτέλης καὶ Ἔφορος.

Quæ statim sequuntur apud Clementem Alex. v. infra in Locrorum Politia fr. 171.

157 (527).

Plutarch. V. Lycurg. c. 31 : Ὁ δὲ (Λυκοῦργος)... ὑπερῆρε τῇ δόξῃ τοὺς πώποτε πολιτευσαμένους ἐν τοῖς Ἕλλησι. Δι' ὅπερ καὶ Ἀριστοτέλης ἐλάττονας σχεῖν φησὶ τιμὰς ἢ προσῆκον ἦν αὐτὸν ἔχειν ἐν Λακεδαίμονι, καίπερ ἔχοντα τὰς μεγίστας. Ἱερόν τε γάρ ἐστιν αὐτοῦ καὶ θύουσι καθ' ἕκαστον ἐνιαυτὸν ὡς θεῷ.

---

est honoribus. Hyacinthiis festo æneus ei thorax publice exponitur, quem ὅπλον Thebani vocabant. Narrat hæc et Aristoteles in Laconum Republica. Quidam vero dicunt Pindarum nunc de bello contra Amyclæenses loqui nec de Ægidis qui cum Timomacho erant, sed de iis qui cum Heraclidis in Peloponnesum venerunt, quorum duces erant Aristomachus Cleadæ filius et Cleadas Hylli. Etenim Thebis tunc venisse qui Doriensibus opem tulerint Ægidas cum Atheniensibus, esse vero Ægidas e Theba ortos genere Athenienses. Quum igitur duæ expeditiones a gente Ægidarum Spartam factæ sint, difficile est dijudicare cujus Pindarus nunc mentionem faciat. Fortasse alterius. Aristoteles enim dicit Lacedæmonios contra Amyclæenses bellum gerentes, quum oraculo edocti essent Ægidas socios ipsis assumendos esse, primum profectos esse Athenas, deinde Thebis, quo deverterant, ad convivium gentes Ægidarum invitatos esse; ibi quum post cœnam sacerdotem audiissent, precantem ut Ægidis dii bona darent, oraculi sensu perspecto, hinc socios sibi arcessivisse.

155.

Minime vero quo tempore vixerit Lycurgus in confesso est. Alii enim Iphiti temporibus claruisse, eumque in Olympiacis feriis instituendis adjuvisse tradunt; estque hujus sententiæ etiam Aristoteles philosophus, indicii loco discum Olympium adducens, in quo nomen Lycurgi incisum adhuc exstet.

156.

Minoem ad Jovis antrum venientem, novem annorum spatio leges a Jove accepisse et Lycurgum assidue Delphos euntem ad Apollinem, leges ab eo didicisse, scribunt Plato, Aristoteles et Ephorus.

157.

Lycurgus ... merito omnibus illis qui unquam apud Græcos rempublicam attigerunt, gloria longe antepouitur. Ideoque et Aristoteles ait minores eum apud Spartanos, quam quos par erat, honores adeptum, quum sit quidem

Cf. Heracl. Excerpt. p. 6, 4 Schneidew. : Τὴν Λακεδαιμονίων πολιτείαν τινὲς Λυκούργῳ προσάπτουσι πᾶσαν.

158 (528).

Plutarch. V. Lycurg. c. 6 : Οὕτω δὲ περὶ ταύτην (τὴν τῶν γερόντων scil.) ἐσπούδασε τὴν ἀρχὴν ὁ Λυκοῦργος, ὥστε μαντείαν ἐκ Δελφῶν κομίσαι περὶ αὐτῆς ἣν ῥήτραν καλοῦσιν. Ἔχει δὲ οὕτως· « Διὸς Ἑλλανίου καὶ Ἀθανᾶς Ἑλλανίας ἱερὸν ἱδρυσάμενον, φυλὰς φυλάξαντα καὶ ὠβὰς ὠβάξαντα, τριάκοντα γερουσίαν σὺν ἀρχαγέταις καταστήσαντα, ὥρας ἐξ ὥρας ἀπελλάζειν μεταξὺ Βαβύκας τε καὶ Κνακιῶνος, καὶ οὕτως εἰσφέρειν τε καὶ ἀφίστασθαι· δάμῳ δὲ κυρίαν ἦμεν καὶ κράτος. » Ἐν τούτοις τὸ μὲν φυλὰς φυλάξαι καὶ ὠβὰς ὠβάξαι διελεῖν ἐστὶ καὶ κατανεῖμαι τὸ πλῆθος εἰς μερίδας, ὧν τὰς μὲν φυλὰς τὰς δὲ ὠβὰς προσηγόρευκεν. Ἀρχαγέται δὲ οἱ βασιλεῖς λέγονται. Τὸ δὲ ἀπελλάζειν ἐκκλησιάζειν, ὅτι τὴν ἀρχὴν καὶ τὴν αἰτίαν τῆς πολιτείας εἰς τὸν Πύθιον ἀνῆψε. Τὴν δὲ Βαβύκαν καὶ τὸν Κνακιῶνα νῦν Οἰνοῦντα προσαγορεύουσιν· Ἀριστοτέλης δὲ τὸν μὲν Κνακιῶνα ποταμόν, τὴν δὲ Βαβύκαν γέφυραν. Ἐν μέσῳ δὲ τούτων τὰς ἐκκλησίας ἦγον οὔτε παστάδων οὐσῶν οὔτε ἄλλης τινὸς κατασκευῆς ... Τοῦ δὲ πλήθους ἀθροισθέντος εἰπεῖν μὲν οὐδενὶ γνώμην τῶν ἄλλων ἐφεῖτο, τὴν δ' ὑπὸ τῶν γερόντων καὶ τῶν βασιλέων προτεθεῖσαν ἐπικρῖναι κύριος ἦν ὁ δῆμος. Ὕστερον δὲ κτέ.

« Quæ sequuntur, ex eodem fonte qui non est Aristoteles, sed quocum Aristoteles comparatur : id quod de ceteris etiam valet Plutarchi locis, qui sicut Heraclides in Lycurgeis Ephorum præcipue secutus esse videtur. » *Rosius*.

Cf. Tzetzes in Lycophron. v. 550 : Κνηκείων ποταμὸς Λακωνικῆς, ὃς ὕστερον ἐκλήθη Οἰνοῦς. Hesychius s. v. Βαβύκα· γέφυρα.

159 (529).

Plutarch. V. Lycurg. c. 5 § 3 : Ἐπανελθὼν οὖν πρὸς οὕτω διακειμένους εὐθὺς ἐπεχείρει τὰ παρόντα κινεῖν καὶ μεθιστάναι τὴν πολιτείαν ... § 4 : Διανοηθεὶς δὲ ταῦτα πρῶτον μὲν ἀπεδήμησεν εἰς Δελφούς· καὶ τῷ θεῷ θύσας καὶ χρησάμενος ἐπανῆλθε τὸν διαβόητον ἐκεῖνον χρησμὸν κομίζων ... § 6 : Ὡς δ' ὁ καιρὸς ἧκε τριάκοντα τοὺς πρώτους ἐκέλευσε μετὰ τῶν ὅπλων ἕωθεν εἰς ἀγορὰν προελθεῖν ... § 11 : Τοσούτους δέ φησι κατασταθῆναι τοὺς γέροντας Ἀριστοτέλης, ὅτι τριάκοντα τῶν πρώτων μετὰ Λυκούργου γενομένων δύο τὴν πρᾶξιν ἐγκατέλιπον ἀποδειλιάσαντες. Ὁ δὲ Σφαῖρος ἐξ ἀρχῆς φησὶ τοσούτους γενέσθαι τοὺς τῆς γνώμης μετασχόντας.

160 (530).

Plutarch. V. Lycurg. c. 28 : Ἡ δὲ καλουμένη κρυπτία παρ' αὐτοῖς, εἴγε δὴ καὶ τοῦτο τῶν Λυκούργου πολιτευμάτων ἕν ἐστιν, ὡς Ἀριστοτέλης ἱστόρηκε, ταύτην ἂν εἴη (τῆς ἀδικίας scil.) καὶ τῷ Πλάτωνι (Leges, p. 633, B) περὶ τῆς πολιτείας καὶ τοῦ ἀνδρὸς ἐνειργασμένη δόξαν. Ἦν δὲ τοιαύτη· τῶν νέων οἱ ἄρχοντες διὰ χρόνου τοὺς μάλιστα νοῦν ἔχειν δοκοῦντας εἰς τὴν χώραν ἄλλως ἐξέπεμπον, ἔχοντας ἐγχειρίδια καὶ τροφὴν ἀναγκαίαν, ἄλλο δὲ οὐδέν· οἱ δὲ μεθ' ἡμέραν μὲν εἰς ἀσυνδήλους διασπειρόμενοι τόπους

---

ornatus maximis. Templum enim ei positum est, sacrificaturque ipsi quotannis tanquam deo.

158.

Tanto autem studio in ordine senatorum sanciendo usus est Lycurgus ut rhetram quoque de eo Delphis attulerit, cujus hic est tenor : « Jovis Hellanii et Minervæ Hellaniæ templum ædificet : populum in phylas et obas dividat, triginta senatores cum archagetis constituat : subinde inter Babycam et Cnacionem concionem populi convocet, itaque de rebus referat aut antiquet; populo autem jussus erit et auctoritas. » His oraculi verbis φυλὰς φυλάξαι et ὠβὰς ὠβάξαι significat dividere et distribuere populum in partes, quarum alteras φυλάς, alteras ὠβάς appellant : reges autem archagetæ dicuntur, quasi duces : et concionem habere græce hic exprimitur ἀπελλάζειν, propterea quod ad Apollinem Pythium reipublicæ initium et causam referebat. Babycem et Cnacionem, Œnuntem hodie nominant : Aristoteles vero Cnacionem fluvii, Babycam pontis nomen esse auctor est. Horum in medio conciones agebant, quum neque porticus, neque alius ullus apparatus esset.... Conducta in unum locum multitudine referendi quapiam de re facultas nemini de populo concedebatur : tantum ejus erat ea, quæ seniores regesque proposuissent, jubere.

159.

Rediit igitur ad suos eo modo affectus Lycurgus ac statim aggressus est præsentem Reipublicæ statum convellere et mutare.... Hæc secum cogitans, initio Delphos profectus est et sacris peractis oraculum consuluit, celebre id responsum reportans.... Quum dies destinata negotio venisset, summo mane triginta e primoribus jussit armatos in forum prodire.... Numeri autem eam rationem Aristoteles affert, quod quum Lycurgus triginta instituisset, duo ex his præ metu ordinem deseruerint. At Sphærus initio tantum octo et viginti fuisse ait qui consilii participes essent.

160.

At Cryptia, quam ipsi (*ab insidiis*) ita nominant, si quidem ejus quoque, ut Aristoteles narrat, Lycurgus auctor fuit, Platonem fortassis etiam in eam de Lycurgo et eius legibus adduxit sententiam. Ea hujusmodi fuit.

ἀπέκρυπτον ἑαυτοὺς καὶ ἀνεπαύοντο, νύκτωρ δὲ κατιόντες εἰς τὰς ὁδοὺς τῶν εἱλώτων τὸν ἁλισκόμενον ἀπέσφαττον.... § 5 : Ἀριστοτέλης δὲ μάλιστά φησι καὶ τοὺς ἐφόρους, ὅταν εἰς τὴν ἀρχὴν καταστῶσι πρῶτον, τοῖς εἵλωσι καταγγέλλειν πόλεμον, ὅπως εὐαγὲς ᾖ τὸ ἀνελεῖν.

Quæ de cryptia narrantur, in Heraclidis quoque Excerptis leguntur p. 6, 13 Schneidew. : Λέγεται δὲ καὶ τὴν κρυπτὴν εἰσηγήσασθαι, καθ' ἣν ἔτι καὶ νῦν ἐξιόντες ἡμέρας κρύπτονται· τὰς δὲ νύκτας μεθ' ὅπλων [ἐκρήττονται sive ἐκκύπτονται], καὶ ἀναιροῦσι τῶν εἱλώτων ὅσους ἂν ἐπιτήδειον ᾖ, cur autem potius Ephoro quam Aristoteli debeantur, quæ est Rosii sententia, non video.

161 (531)

Plutarchi V. Cleomenis c. 9. Ἔστι δὲ Λακεδαιμονίοις οὐ Φόβου μόνον, ἀλλὰ καὶ Θανάτου καὶ Γέλωτος καὶ τοιούτων ἄλλων παθημάτων ἱερά. Τιμῶσι δὲ τὸν Φόβον οὐχ, ὥσπερ οὓς ἀποτρέπονται δαίμονας, ἡγούμενοι βλαβερόν, ἀλλὰ τὴν πολιτείαν μάλιστα συνέχεσθαι φόβῳ νομίζοντες. Προεκήρυττον οἱ ἔφοροι τοῖς πολίταις εἰς τὴν ἀρχὴν εἰσιόντες, ὡς Ἀριστοτέλης φησί, κείρεσθαι τὸν μύστακα καὶ προσέχειν τοῖς νόμοις, ἵνα μὴ χαλεποὶ ὦσιν αὐτοῖς· τὸ τοῦ μύστακος οἶμαι προτείνοντες, ὅπως καὶ περὶ τὰ μικρότατα τοὺς νέους πειθαρχεῖν ἐθίζωσι.

Iterum, Aristotelis tamen nomine omisso, occurrunt hæc apud Plutarchum De sera numinis vindicta c. 4 et ex Plutarcho apud Proclum in Hesiodi Opp. v. 722 : Ἐν μὲν οὖν Σπάρτῃ τοῖς εἰς ἀρχὴν καθισταμένοις οἱ ἔφοροι προεκήρυττον μὴ τρέφειν μύστακας, ἵνα τοὺς τὸ φαῦλον τοῦτο καὶ εὐτελὲς παραβάντας μειζόνως κολάζωσιν, ubi prima sic legenda esse : εὐθὺς εἰς ἀρχὴν καθιστάμενοι, conjecit Wyttenbachius.

162 (532).

Harpocration s. v. Μόρων : Δημοσθένης Φιλιππικοῖς (§ 22). Συντάγματά τινα Λακωνικὰ οὕτω καλεῖται. Διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ. Φησὶ δὲ ὡς εἰσὶ μόραι ἓξ ὠνομασμέναι, καὶ διῄρηνται εἰς τὰς μόρας Λακεδαιμόνιοι πάντες. Ξενοφῶν δὲ ἐν τῇ Λακώνων Πολιτείᾳ (c. 11, 4) φησίν· « Ἑκάστη δὲ τῶν πολιτικῶν μορῶν ἔχει πολέμαρχον ἕνα, λοχαγοὺς δ', πεντηκοστύας η', ἐνωμοτάρχας ις'.

Eadem Photius et Suidas. Pro μόραι et μόρας codd. μοῖραι et μοίρας. Pro ἓξ Photius male ἑπτά. Cf. Hesych. s. v. Μόρα, Lex. Rhet. Seguer. p. 279, 13.

163 (533).

Hesychius s. v. Λόχοι : Λακεδαιμονίων φησὶν Ἀριστοφάνης (Lysistr. v. 483) τέτταρας· πέντε γάρ εἰσιν, ὥς φησιν Ἀριστοτέλης. Male ut videtur Photius s. v. Λόχοι : Λακεδαιμονίων δ', ὡς Ἀριστοφάνης. Θουκυδίδης (V. 68) δὲ ε', Ἀριστοτέλης ζ'. Cf. Schol. Aristoph. Lysistr. v. 453 : Τέτταρες λόχοι : Ἀργότερον τὰ Λακώνων ἔοικεν ἐξειργάσθαι ὁ ποιητής. Λόχοι γὰρ οὐχ εἰσὶ τέτταρες ἐν Λακεδαιμονίᾳ ἀλλὰ ε', Ἔδωλος, Σίνις, Ἀρίμας, Πλοάς, Μεσσοάγης (corr. Μεσοάτης O. Müller, *Die Dorer*, t. II, p. 234). Ὁ δὲ Θουκυδίδης ζ' φησὶ χωρὶς τῶν Σκιριτῶν, unde emendandus est Scholiastes Thucyd. IV, 8 : Λόχοι Λακεδαιμονίων πέντε Αἰδώλιος, Σίνις, Σαρίμας, Πλόας, Μεσοάτης. Hæc nomina, quorum primus apud Hesychium quoque legitur s. v. : Ἔδωλος : Λόχος Λακεδαιμονίων οὕτως ἐκαλεῖτο, ex Aristotele fluxisse, non improbabiliter conjicit Rosius.

Magistratus statis temporibus quos juvenum sollertissimos esse censuissent, cum pugionibus et cibo quantum necessitas postulabat, neque ulla alia re instructos, in agros nullo certo proposito emiserunt. Hi interdiu dispersi in loca incognita se abdiderunt et quieti se dederunt : noctu in vias digressi omnes Helotas, quos comprehendere potuissent, obtruncaverunt... Aristoteles autem inprimis auctor est ephoros, ut primum magistratum eum occipiant, bellum servis indicere, ut citra religionem ii occidi possint.

161.

Apud Lacedæmonios non solum Metus sed etiam Mortis et Risus et aliorum similium affectuum fana sunt. Venerantur autem Metum non tanquam noxium, uti eos colimus dæmones, quorum iram avertere volumus, sed rempublicam quam maxime metu contineri existimantes. Quare etiam ephori, ut Aristoteles ait, magistratum ineuntes edicunt civibus, ut mystacem tondeant et ad leges attendant, ne eæ ipsis sint difficiles; atque illud de mystace propterea, puto, jubent, ut vel circa res minimas juvenes ad obedientiam assuefaciant.

162.

Mora : cohortes quædam Laconicæ sic vocantur, de quibus disserit Aristoteles in Lacedæmoniorum Republica. Dicit vero moras esse sex in quas universi Lacedæmonii distributi sint.

163.

Lochi Lacedæmoniorum sunt quinque, ut ait Aristoteles.

164 (534).

Schol. Aristoph. Acharn 320 : Ἀριστοτέλης δέ φησιν ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ χρῆσθαι Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους, τοῦτο μὲν ὅτι τὸ τῆς χρόας ἀνδρικόν, τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως ἐθίζει καταφρονεῖν. Ex hoc scholio exscriptum videtur quod a Gailio editum est in Xenoph. Anabas. I, 2, 16 : Χρῶνται γὰρ οἱ Ἕλληνες χιτῶσι φοινικίοις πρὸς τοὺς πολέμους· τοῦτο μέν, ὥς φησιν Ἀριστοτέλης, ὅτι τῆς χρόας κτέ. Brevius Mœris Att. s. v. Φοινικίς· Ἔνδυμα Λακωνικὸν ὁπότε εἰς πόλεμον ἴοιεν, διὰ τὸ ὁμοχροεῖν τῷ αἵματι. Ἀριστοτέλης ἐν Πολιτείᾳ λέγει (add. Λακεδαιμονίων). E Schol. Aristophanis Suidas s. v. Φοινικίδα, nomine Aristotelis addito, omisso vero s. v. Καταξαίνειν εἰς φοινικίδα. Cf. Etymol. M. p. 385, 25, Thomas Mag. s. v. Φοινικίς, Schol. Aristoph. Pax v. 1173 : Ταῖς γὰρ φοινικίσιν ἐχρῶντο Λακεδαιμόνιοι, ἵνα μὴ αἰσθάνωνται τοῦ αἵματος διὰ τὴν ὁμοιότητα, καὶ ἵνα τρωθέντες μὴ νοηθῶσι τοῖς πολεμίοις. Ex Aristotele manifesto expressa sunt Plutarchi Instit. Laconic. c. 24 : Ἐν τοῖς πολέμοις φοινικίσιν ἐχρῶντο· ἅμα μὲν γὰρ ἡ χρόα ἐδόκει αὐτοῖς ἀνδρικὴ εἶναι, ἅμα δὲ τὸ αἱματῶδες τοῦ χρώματος πλείονα τοῖς ἀπείροις φόβον παρέχειν. Καὶ τὸ μὴ εὐπερίφωρον δὲ τοῖς πολεμίοις εἶναι ἐάν τις αὐτῶν πληγῇ, ἀλλὰ διαλανθάνειν διὰ τὸ ὁμόχρουν, χρήσιμον. Cf. præterea Ælian. Var. Hist. VI, 6, Valer. Max. II, 6, 2

165 (535).

Harpocration s. v. Καὶ γὰρ τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν : Ἰσοκράτους ἐν Βουσίριδι (§ 18) περὶ Λακεδαιμονίων ταῦτα λέγοντος ῥητέον ὅτι καὶ οἱ τὰς Λακεδαιμονίων πολιτείας γεγραφότες τὰ ὅμοια εἰρήκασιν. Ὁ δὲ Ἀριστοτέλης οὐκ ἐξεῖναί φησιν ἀποδημεῖν τοὺς Λακεδαιμονίους, ὅπως μὴ ἐθίζωνται ἄλλων νόμων εἶναι φίλοι. Τοῦ μέντοι Ἰσοκράτους τοὺς μαχίμους μόνους λέγοντος κωλύεσθαι ἀποδημεῖν οἱ περὶ Ἀριστοτέλην τοὺς πάντας Λακεδαιμονίους φασίν.

Cum Aristotele facit Plutarch. Instit. Laconic. c. 19 : Ἀποδημεῖν δὲ οὐκ ἐξῆν αὐτοῖς, ἵνα μὴ ξενικῶν ἐθῶν καὶ βίων ἀπαιδεύτων μετάσχωσι.

166 (536).

Zenobius Prov. II, 24 : Ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν : Αὕτη λέλεκται ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν βουλομένων. Μετενήνεκται δὲ ἀπὸ χρησμοῦ δοθέντος Λακεδαιμονίοις, ἐν ᾧ ἔχρησε τότε ὁ θεὸς ἀπολεῖσθαι τοὺς Λακεδαιμονίους, ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσι. Μέμνηται τοῦ χρησμοῦ Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ.

Ἕλοι codd. Zenobii, Diogen. Prov. II, 36, Plutarchi Prov. 43, Macar. II, 68, Arsen. 87, Prov. Collect. III, apud E. Miller, *Mélanges de littérature grecque*, Paris 1868, p. 372 (ubi male scriptum est Ἀφιλοχρηματία), ὀλεῖ vero tuentur Diodor. VII, 14, 5, Plutarch. Instit. Lacon. 41, Olympiodorus in Platonis Alcib. p. 164 Creuz., Cicero de Offic. II, 11 : *Apollo Pythius oraculo edidit, Spartam nulla re, nisi avaritia perituram.* Paulo aliter :

167 (537).

Schol. A (Vatic.) Euripid. Andromach. 446 (t. IV, p. 165, 14 Dind.) : Ἑξῆς δὲ αὐτοὺς (τοὺς Σπαρτιάτας scil.) εἴς τε τὰ ἄλλα καὶ φιλοχρηματίαν κακῶς λέγει. Καὶ Ἀριστοτέλης δὲ τοῦτο ἱστορεῖ ἐν τῇ τῶν Λακώνων Πολιτείᾳ καὶ τὸ ὑπὸ [τοῦ] θεοῦ αὐτοματισθὲν προστίθησιν ἔπος·

Ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ (cod. ἕλοι) ἄλλο γὰρ οὐδέν.

Ceterum, Aristotelem fortasse secutus, oraculum ad Theopompi regis ætatem refert Plutarchus Instit. Lacon. 41 : Ἀλκαμένει γὰρ καὶ Θεοπόμπῳ τοῖς βασιλεῦσι χρησμὸς ἐδόθη· Ἁ φιλοχρηματία κτέ, Diodorus contra, VII, 14, 5, ad ipsum Lycurgum.

168 (538).

Eustath. ad Iliad. ι, 129, p. 741, 16 Rom. : Ἰστέον δὲ καὶ ὅτι δοκεῖ οὐκ ἀγαθοὺς ἀνθρώπους ἢ

165.

Aristoteles non licere dicit Lacedæmoniis peregrinari, ne aliarum legum studio assuescerent. Dum Isocrates ait solos militares peregrinatione prohibitos esse, Aristoteles omnes Lacedæmonios dicit.

166.

Avaritia Spartam perdet aliud nihil. Hoc proverbium de iis dicitur, qui ex omni re quæstum facere student. Translatum est ab oraculo Lacedæmoniis dato, quo vaticinatus deus est tum Lacedæmonios perditum iri, quum argentum et aurum in honore habere cœperint. Meminit oraculi Aristoteles in Lacedæmoniorum Republica.

168.

Ælius Dionysius dicit *Lesbium cantorem* in proverbio

Λέσβος ἐνεγκεῖν, ὅθεν καὶ λεσβιάσαι τὸ αἰσχρῶς μολῦναι τὸ στόμα κατὰ Αἴλιον Διονύσιον, ὅς καὶ τὸν τῆς παροιμίας Λέσβιον ᾠδὸν τὸν Τέρπανδρόν φησιν ἢ Εὐαινετίδην ἢ Ἀριστοκλείδην. Καὶ Ἀριστοτέλης δὲ ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ τὸ « μετὰ Λέσβιον ᾠδόν » τὸν Τέρπανδρόν φησι δηλοῦν. Ἐκαλοῦντο δέ, φασί, καὶ ὕστερον εἰς τὴν ἐκείνου τιμὴν πρῶτον μὲν ἀπόγονοι αὐτοῦ, εἶτα εἴ τις ἄλλος παρείη Λέσβιος, εἶθ' οὕτως οἱ λοιποὶ μετὰ Λέσβιον ᾠδόν, τὸν ἁπλῶς δηλαδὴ Λέσβιον. C. Müllerus frustra, ut videtur, pro φασί, post ἐκαλοῦντο, φησί voluit.

Cf. Zenobius Prov. V, 9 : Μετὰ Λέσβιον ᾠδόν· Παροιμία ταττομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων ἐξ αἰτίας τοιᾶσδε· Λακεδαιμόνιοι στασιάζοντες μετεπέμψαντο κατὰ χρησμὸν τοῦ θεοῦ ἐκ Λέσβου τὸν μουσικὸν Τέρπανδρον· ἐλθὼν δὲ ἐκεῖνος καὶ τῇ μουσικῇ χρώμενος ἥρμοσεν αὐτῶν τὰς ψυχὰς καὶ τὴν στάσιν ἔπαυσεν. Εἴποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινὸς ἤκουον οἱ Λακεδαιμόνιοι, ἐπεφώνουν μετὰ Λέσβιον ᾠδόν. Μέμνηται τῆς παροιμίας ταύτης Κρατῖνος ἐν Χείρωσι. Eadem Plutarch. Prov. 110, Suidas s. v. (altera glossa), Apostol. Prov. XI, 27, Prov. Bodleian. 627, Prov. Collect. III ap. Miller, l. l. p. 375, Photius s. v. Μετὰ Λέσβιον ᾠδόν : Παρὰ Κρατίνῳ παροιμία λεγομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων· οἱ γὰρ Λακεδαιμόνιοι τοὺς Λεσβίους κιθαρῳδοὺς πρώτους προσεκαλοῦντο. Ἀκαταστατούσης γάρ ποτε τῆς πόλεως αὐτῶν χρησμὸς ἐγένετο τὸν Λέσβιον ᾠδὸν μεταπέμπεσθαι· οἱ δ' ἐξ Ἀντίσσης Τέρπανδρον ἐφ' αἵματι φεύγοντα μεταπεμψάμενοι ἤκουον αὐτοῦ ἐν τοῖς συσσιτίοις καὶ κατεστάλησαν, cf. Suidas gl. pr. Hesychii glossa mutilata est : Μετὰ Λέσβιον ᾠδόν.... Τοὺς ἀπογόνους τοῦ Τερπάνδρου ἀγαθοὺς ἡγουμένους εἶναι κιθαρῳδούς, πρώτους εἰς τὸν ἀγῶνα προσκαλεῖσθαι, [εἶτ'] εἴ τις εἴη Λέσβιος ᾠδός. Quorum omnium partem saltem ex Aristotele fluxisse ostendunt Excerpta Heraclidis p. 7, 5 Schneidew. : Λακεδαιμόνιοι τὸν Λέσβιον ᾠδὸν ἐτίμησαν· τούτου γὰρ ἀκούειν ὁ θεὸς χρησμῳδούμενος ἐκέλευεν.

(ΛΕΣΒΙΩΝ.)

169 (539).

Synag. Lex. Seguer, p. 451, 31 Bekk. : Ἀσιάς· Ἡ κιθάρα, ἀπὸ Ἀσίου τινός· καὶ Ἀσία καὶ Ἀσιώνη, ἡ ἀπὸ Ἀσίας τῆς μητρὸς Προμηθέως. Δοῦριν δὲ Ἀριστοτέλης φησὶ λέγειν ὅτι ἐκλήθη Ἀσιὰς ἀπὸ τῶν χρωμένων Λεσβίων, οἵτινες οἰκοῦσι πρὸς τῇ Ἀσίᾳ. Οἱ δὲ ἀπὸ Τυρρήνου Λυδοῦ εὑρόντος πρώτου τὸ τρίγωνον ὄργανον· οἱ δὲ ἀπὸ Τερπάνδρου.

In his verbis plura sunt quæ dubitationem movent. Quod primum ad Aristotelis nomen attinet non difficilior est emendatio Δοῦρις δὲ Ἀριστοτέλη φησὶ λέγειν, quam, quod mavult Müllerus l. l. fr. 259, Δοῦριν δὲ Ἀριστοκλῆς φησὶ λέγειν, cf. Duridis fragm. 83, in Hist. gr. t. II, p. 488. Possis et Δοῦριν δὲ καὶ Ἀριστοτέλη φασὶ λ., nisi explicationem a Duride datam ab excerptore errore omissam esse statuas. Cf. Etymol. M. p. 513, 28 de cithara : Ὁ δὲ Δοῦρις ἀπὸ Κιθαιρῶνός φησιν, ὅτι Ἀμφίων ἐκεῖσε ἐμουσικεύετο. Hæc vero utcunque se habent, quod hîc Aristoteli tribuitur optime sive in Lesbiorum, seu Mytilenæorum, sive in alia Republica, Lydorum fortasse, narrari potuit. Nec minus apte fortasse de dialogo de Poetis cogitare poterit aliquis. Non enim video, cur si hæc ab Aristotele narrata sunt, non item ab Aristoxeno et ab Heraclide dici potuerint, e quorum libris satis probabiliter desumpta esse contendit Rosius quæ de eadem hac re refert Plutarchus de Musica c. 6 : Ἐποιήθη δὲ καὶ τὸ σχῆμα τῆς κιθάρας πρῶτον κατὰ Κηπίωνα τὸν Τερπάνδρου μαθητήν, ἐκλήθη δὲ Ἀσιὰς διὰ τὸ κεχρῆσθαι τοὺς Λεσβίους αὐτῇ κιθαρῳδοὺς πρὸς τῇ Ἀσίᾳ κατοικοῦντας. Cf. Etymol. M. p. 153, 31 : Ἀσιάδος κρούματα : τῆς κιθάρας· οὕτως Ἀριστοφάνης εἶπε παρῳδῶν τὸ ἐξ Ἐρεχθέως Εὐριπίδου. Ἡ τρίχορδος κιθάρα οὕτω καλεῖται. Εἴρηται δὲ ὅτι ἐν Ἀσίᾳ τῇ πόλει τῆς Λυδίας κειμένῃ ἐν Τμώλῳ πρῶτον εὑρέθη. Καὶ τὰς γοώδεις δὲ ᾠδὰς ὑπὸ Νιόβης καὶ τῶν Λυδῶν γυναικῶν εὑρεθείσας εἰς Ἕλληνας ἀχθῆναι· ὅθεν καὶ Λύδιος ὁ τρόπος μετωνομάσθη, Steph. Byz. s. v. Ἀσία : πόλις Λυδίας παρὰ τῷ Τμώλῳ, ἐν ᾗ [ἡ] τρίχορδος εὑρέθη κιθάρα. Hesych. s. v. Ἀσιάς : Ἡ κιθάρα διὰ τὸ ἐν Ἀσίᾳ εὑρῆσθαι. Schol. Apoll. Rh. II, 277 : Καὶ ἡ κιθάρα Ἀσιὰς λέγεται, ἐπεὶ ἐν Λυδίᾳ πρῶτον εὑρέθη.

Terpandrum, sive Euænetidem, sive Aristoclidem esse. Aristoteles etiam in Lacedæmoniorum Republica dicit proverbium *Post Lesbium cantorem* Terpandrum designare... Appellabantur autem, inquiunt, et postea in illius honorem primum qui ab illo genus ducebant, deinde si quis alius Lesbius adesset, postremo ita reliqui post Lesbium cantorem, Lesbium nude dictum.

(LESBIORUM.)

169.

Asias, cithara, ut ex Duride Aristoteles (*immo ut ex Aristotele Duris*) refert, nomen habet a Lesbiis, qui ea utebantur, prope Asiam habitantibus.

ΛΕΥΚΑΔΙΩΝ.

169^{b} (540).

Strabo VII, p. 322 in. : Ἐν δὲ τῇ Λευκαδίων (Πολιτείᾳ Ἀριστοτέλης) καὶ αὐτόχθονά τινα Λέλεγα ὀνομάζει, τούτου δὲ θυγατριδοῦν Τηλεβόαν, τοῦ δὲ παῖδας δύο καὶ εἴκοσι Τηλεβόας, ὧν τινὰς οἰκῆσαι τὴν Λευκάδα.

Cf. supra Ætolorum Rempublicam.

ΛΟΚΡΩΝ.

170 (541).

Polybii Excerpta c. XII, 5 : Οὐχ ὤκνησα καὶ λέγειν καὶ γράφειν ὅτι τὴν ὑπ' Ἀριστοτέλους παραδιδομένην ἱστορίαν περὶ τῆς ἀποικίας ἀληθινωτέραν εἶναι συμβαίνει τῆς ὑπὸ Τιμαίου λεγομένης. Σύνοιδα γὰρ τοῖς ἀνθρώποις ὁμολογοῦσιν ὅτι παραδόσιμος αὐτοῖς ἐστιν αὕτη περὶ τῆς ἀποικίας ἡ φήμη παρὰ πατέρων, ἣν Ἀριστοτέλης εἴρηκεν, οὐ Τίμαιος. Καὶ τούτων γε τοιαύτας ἔφερον ἀποδείξεις. Πρῶτον μὲν ὅτι πάντα τὰ διὰ προγόνων ἔνδοξα παρ' αὐτοῖς ἀπὸ τῶν γυναικῶν, οὐκ ἀπὸ τῶν ἀνδρῶν εἴη... Ib. c. 6 : Ἐκ τούτων ἄν τις συλλογιζόμενος Ἀριστοτέλει πρόσσχοι μᾶλλον ἢ Τιμαίῳ. Καὶ μὴν τὸ συνεχὲς τούτῳ τελέως ἄτοπον. Τὸ γὰρ ὑπολαμβάνειν, καθάπερ ἐκεῖνος ὑποδείκνυσιν, ὡς οὐκ εἰκὸς ἦν τοὺς οἰκέτας τῶν Λακεδαιμονίοις συμμαχησάντων τὴν τῶν κυρίων εὔνοιαν ἀναφέρειν πρὸς τοὺς ἐκείνων φίλους εὔηθες... διὸ καὶ τὴν ὀνομασίαν (Locrorum scil.) τῇ πόλει τὴν ἀπὸ τῶν γυναικῶν εἰκότως ἐπέθεσαν καὶ τὴν οἰκειότητα τὴν κατὰ τὰς γυναῖκας προσεποιήθησαν, ἔτι δὲ τὰς φιλίας καὶ τὰς συμμαχίας τὰς προγονικὰς τὰς ἀπὸ τῶν γυναικῶν ἀνενεοῦντο... Ἀλλὰ πῶς αὐτοὶ μὲν ἐξαπέστελλον οἱ Λακεδαιμόνιοι τοὺς ἀκμάζοντας εἰς τὴν πατρίδα τεκνοποιίας χάριν, τοὺς δὲ Λοκροὺς τὸ παραπλήσιον οὐκ εἴων ποιεῖν; ἕκαστα δὲ ταῦτα οὐ μόνον κατὰ τὸ πιθανὸν ἀλλὰ καὶ κατὰ τὴν ἀλήθειαν μεγάλην ἔχει διαφοράν... Διόπερ οἱ Λοκροὶ μήτε ταῖς ἀραῖς ὄντες ἔνοχοι μήτε τοῖς ὅρκοις οἷς ὤμοσαν οἱ Λακεδαιμόνιοι μὴ πρότερον εἰς τὴν οἰκείαν ἐπανήξειν πρὶν ἢ τὴν Μεσσήνην κατὰ κράτος ἑλεῖν, τῆς μὲν κατὰ τὸ κοινὸν ἐξαποστολῆς εὐκόλως οὐ μετέσχον, κατὰ δὲ μέρος τὰς ἐπανόδους ποιούμενοι καὶ σπανίως, ἔδοσαν ἀναστροφὴν ταῖς γυναιξὶ πρὸς οἰκέτας γενέσθαι συνήθειαν ἢ πρὸς τοὺς ἐξ ἀρχῆς ἄνδρας, ταῖς δὲ παρθένοις καὶ μᾶλλον· ὃ καὶ τῆς ἐξαναστάσεως αἴτιον γέγονεν... c. 8 : Ἢ δεικτέον οὖν τὸν Ἀριστοτέλη κατὰ τὸν ἄρτι λόγον τὰ περὶ Λοκρῶν εἰρηκότα χάριτος ἢ κέρδους ἢ διαφορᾶς ἕνεκεν, ἢ μηδὲ τολμῶντας τοῦτο λέγειν, ὁμολογητέον ἀγνοεῖν καὶ παραπαίειν τοὺς τοιαύτῃ χρωμένους ἀπεχθείᾳ καὶ πικρίᾳ κατὰ τῶν πέλας, οἵᾳ κέχρηται Τίμαιος κατὰ Ἀριστοτέλους. Φησὶ γὰρ αὐτὸν εἶναι θρασύν, εὐχερῆ, προπετῆ, πρὸς δὲ τούτοις κατατετολμηκέναι τῆς τῶν Λοκρῶν πόλεως εἰπόντα τὴν ἀποικίαν αὐτῶν εἶναι δραπετῶν [οἰκετῶν], μοιχῶν, ἀνδραποδιστῶν.

Cf. c. 11 : Μεταβὰς ἐπὶ τοὺς ἐν Ἰταλίᾳ Λοκροὺς πρῶτον μέν φησι (ὁ Τίμαιος scil.) τήν τε πολιτείαν καὶ τὰ λοιπὰ φιλάνθρωπα τοῖς Λοκροῖς ἀμφοτέροις Ἀριστοτέλη καὶ Θεόφραστον κατεψεῦσθαι τῆς πόλεως, et præterea Dionysius Perieg. v. 365 et

---

LEUCADIORUM.

169 b.

Aristoteles in Leucadiorum Republica quendam indigenam Lelegem ponit, cujus ex filia nepos fuerit Teleboas, atque hujus XXII filii Teleboæ, quorum quosdam Leucadiam inhabitasse.

LOCRORUM.

170.

Nihil sum cunctatus dicere et scribere, narrationem ab Aristotele proditam memoriæ super deductione ejus coloniæ veriorem esse ea quam adfert Timæus. Compertum namque mihi est ipsos Locrenses fateri eam se a patribus traditam accepisse famam de sua colonia quam habet Aristotêles, non quam Timæus. Cujus sententiæ hæc etiam argumenta adferebant. Primum quidem, quod splendor omnis qui a majoribus repetitur, apud ipsos a feminis, non a viris derivetur... Ex his quisque ratiocinans ad Aristotelis magis quam ad Timæi sententiam accedet. Et quidem aliud hinc proximum est absurdum. Namque opinari, ut Timæus ostendere nititur, consentaneum non fuisse ut famuli Lacedæmoniorum, qui militiam cum his tolerabant, dominorum benevolentiam ad illorum necessarios referrent, id quidem stultum est...

Aut igitur ea quæ Aristoteles de Locris prodidit, gratiæ vel utilitati vel inimicitiæ dedisse monstrandus est : aut, si nemo est, qui id asserere ausit, fateri oportet graviter a vero aberrare eos, qui ejusmodi odio et acerbitate feruntur, cujusmodi Timæus in Aristotelem est ausus.

Ait enim, audacem illum ac levem et temerarium fuisse ac de civitate Locrorum graviter mentitum, quum coloniam eorum ex fugitivis mancipiis, mœchis ac plagiariis collectam esse dixit.

Timæus Tauromenites libro nono Historiarum (quo nomine eum reprehendit Polybius Megalopolita Historiarum duodecimo) Græcis olim non fuisse ait patrium institutum, ut emptitii servi ipsis famularentur : atque ita scribit : Omnino Aristotelem reprehendebant Locri, ac prorsus errasse eum contendebant in Locrorum institutis. Nec enim legibus Locrorum, quemadmodum nec Phocensium, licere aut servos aut ancillas possidere, iis recenti admodum memoria.

Eustathius, ad h. l. Eandem quoque rem e Polybii integro libro tangit Athenæus VI, p. 264, C : Τίμαιος δ' ὁ Ταυρομενίτης ἐν τῇ ἐνάτῃ τῶν Ἱστοριῶν (ἐλέγχει δ' αὐτὸν εἰς τοῦτο Πολύβιος ὁ Μεγαλοπολίτης διὰ τῆς δωδεκάτης τῶν Ἱστοριῶν, ita p. 272, A)· Οὐκ ἦν, φησί, πάτριον τοῖς Ἕλλησιν ὑπὸ ἀργυρωνήτων τὸ παλαιὸν διακονεῖσθαι, γράφων οὕτως· Καθόλου δὲ ᾐτιῶντο τὸν Ἀριστοτέλη (οἱ Λοκροὶ scil.), διημαρτηκέναι τῶν Λοκρικῶν ἐθῶν· οὐδὲ γὰρ κεκτῆσθαι νόμον εἶναι τοῖς Λοκροῖς, ὁμοίως οὐδὲ Φωκεῦσιν, οὔτε θεραπαίνας, οὔτε οἰκέτας, πλὴν ἐγγὺς τῶν χρόνων.

171 (542).

Schol. Pind. Olymp. XI, 17 : Νέμει γὰρ Ἀτρέκεια πόλιν (Didymus teste schol. ad h. l. probaverat lectionem ἁ τραχεῖα πόλις, cf. *Didymi Fragm.* ed. Schmidt, p. 222 et v. l. Bergkii) Λοκρῶν... Ὃ βούλεται λέγειν ἐστὶ τοιοῦτον· καίπερ τραχεῖα οὖσα εὐνομεῖται. Διὰ τί δέ, φησὶν Ἀριστοτέλης. Ἐπειδὴ γὰρ ἐχρῶντο τῷ θεῷ πῶς ἂν πολλῆς ταραχῆς ἀπαλλαγεῖεν, ἐξέπεσεν αὐτοῖς χρησμός, ἑαυτοῖς νόμους τίθεσθαι, ὅτε καί τις ποιμήν, ὄνομα δ' ἦν Ζάλευκος, πολλοὺς νόμους δυνηθείη τοῖς πολίταις εἰσενεγκεῖν δοκίμους· γνωσθείς τε καὶ ἐρωτηθεὶς πόθεν εὕροι, ἔφησεν ἐνύπνιον αὐτῷ τὴν Ἀθηνᾶν παρίστασθαι· διὸ αὐτός τε ἠλευθέρωται καὶ νομοθέτης κατέστη.

Eadem brevius Clemens Alex. Stromat. I, p. 152 Sylb. : Χαμαιλέων τε ὁ Ἡρακλεώτης ἐν τῷ περὶ Μέθης καὶ Ἀριστοτέλης ἐν τῇ Λοκρῶν Πολιτείᾳ Ζάλευκον τὸν Λοκρὸν παρὰ τῆς Ἀθηνᾶς τοὺς νόμους λαμβάνειν ἀπομνημονεύουσιν. Cf. Plutarch. De sui laude c. 11.

(ΛΥΔΩΝ.)

172 (543).

Plinius Hist. nat. VII 57 : *Æs conflare et temperare* Aristoteles *Lydum Scythen monstrasse, Theophrastus Delan Phrygem putant. Ærariam fabricam alii Chalybas, alii Cyclopas. Ferrum Hesiodus in Creta eos qui vocati sunt Dactyli Idæi. Argentum invenit Erichthonius Atheniensis, ut alii, Æacus. Auri metalla et conflaturam Cadmus Phœnix ad Pangæum montem, ut alii Thoas,* etc. Ex eodem fonte, Philostephano scilicet περὶ Εὑρημάτων, Clemens Alex. Strom. I, p. 132 Sylb. : Κέλμις τε αὖ καὶ Δαμναμενεὺς οἱ τῶν Ἰδαίων Δάκτυλοι πρῶτοι σίδηρον εὗρον ἐν Κύπρῳ, Δέλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλκοῦ κρᾶσιν, ὡς δὲ Ἡσίοδος (male pro Ἀριστοτέλης) Σκύθης... Κάδμος δὲ ὁ Φοίνιξ λιθοτομίαν ἐξεῦρε καὶ μέταλλα χρυσοῦ τὰ περὶ τὸ Πάγγαιον ἐπενόησεν ὄρος.

173 (544).

Stephanus Byzant. s. v. Ἀδραμύττειον : Πόλις τῆς κατὰ Κάικον Μυσίας... Κέκληται ἀπὸ Ἀδραμύτου κτίστου, παιδὸς μὲν Ἀλυάττου, Κροίσου δὲ ἀδελφοῦ, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις καὶ ἄλλοι. Τινὲς δὲ ἀπὸ Ἕρμωνος τοῦ Λυδῶν βασιλέως· τὸν γὰρ Ἕρμωνα Λυδοὶ Ἄδραμυν καλοῦσι Φρυγιστί. Ultima Hesychius s. v. Ἄδραμυς (cod. Ἀδραμών) : Ὁ Ἕρμων παρὰ Λυδοῖς. Καὶ Ἀδραμύτιον Ἕρμωνος. Cf. Joann. Lyd. de Mensibus IV, 18 : Τὸ Ἀδραμύττειον, πόλιν Ἀσίας, ὁ Τραϊανὸς ἔκτισεν ἀπὸ Ἀδραμύττου, τοῦ ἀδελφοῦ Κροίσου· ὄνομα δὲ αὐτῇ τὸ πάλαι Ὑποπλάκιοι Θῆβαι, Strabo XIII, p. 613, Athen. XII, p. 515, C. De nominis Ἀδραμύττειον scriptura hæc annotat Stephan. Byz. l. l. : Ἡ γραφὴ διχῶς, διὰ τοῦ τ καὶ διὰ τοῦ δ, καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ι, καὶ δι' ἑνὸς τ καὶ διὰ δύο· ἀλλὰ καὶ δι' ἑνὸς τ, ὅταν ἔχῃ δίφθογγον, καὶ διὰ δύο τῷ ι μόνως.

ΛΥΚΙΩΝ.

Vide supra ad Achæorum Rempublicam fragm. 105[b].

171.

Locrorum civitas etsi aspera optime administrabatur. Causam rei tradit Aristoteles. Etenim quum deum interrogassent, quomodo magnis turbis liberari possent, editum iis oraculum est jubens ut ipsi sibi leges ferrent; quum et pastor quidam, Zaleucus nomine, multas leges posset civibus ferre optimasque. Cognitus vero atque interrogatus unde inveniret leges, dixit per quietem ipsi Minervam astare. Quare libertatem ei dederunt et legislatorem constituerunt.

Chamæleon Heracleota in libro de Ebrietate et Aristoteles in Locrorum Republica Zaleucum Locrum a Minerva leges suas accepisse memorant.

(LYDORUM.)

173.

Adramytium, urbs Mysiæ, quæ Caico proxima; nomem habet ab Adramyto conditore, Alyattæ filio, fratre Crœsi, ut ait Aristoteles in Rebuspublicis et alii; nonnulli vero nominatam dicunt ab Hermone Lydorum rege; scilicet Hermonem Lydi Adramyn vocant lingua Phrygia.

ΜΑΣΣΑΛΙΩΤΩΝ.

174 (545).

Athen. XIII, p. 576, A : Τὸ ὅμοιον ἱστορεῖ γενέσθαι καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν Πολιτείᾳ γράφων οὕτως· « Φωκαεῖς οἱ ἐν Ἰωνίᾳ ἐμπορίᾳ χρώμενοι ἔκτισαν Μασσαλίαν. Εὔξενος δ' ὁ Φωκαεὺς Νάνῳ τῷ βασιλεῖ, τοῦτο δ' ἦν αὐτῷ ὄνομα, ἦν ξένος. Οὗτος ὁ Νάνος ἐπιτελῶν γάμους τῆς θυγατρὸς κατὰ τύχην παραγενόμενον τὸν Εὔξενον παρακέκληκεν ἐπὶ τὴν θοίνην. Ὁ δὲ γάμος ἐγίγνετο τόνδε τὸν τρόπον· ἔδει μετὰ τὸ δεῖπνον εἰσελθοῦσαν τὴν παῖδα φιάλην κεκερασμένην ᾧ βούλοιτο δοῦναι τῶν παρόντων μνηστήρων, ᾧ δὲ δοίη τοῦτον εἶναι νυμφίον. Ἡ δὲ παῖς εἰσελθοῦσα δίδωσιν εἴτε ἀπὸ τύχης εἴτε καὶ δι' ἄλλην τινὰ αἰτίαν τῷ Εὐξένῳ· ὄνομα δ' ἦν τῇ παιδὶ Πέττα. Τούτου δὲ συμπεσόντος καὶ τοῦ πατρὸς ἀξιοῦντος, ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως, ἔχειν αὐτήν, ἔλαβεν ὁ Εὔξενος γυναῖκα καὶ συνῴκει μεταθέμενος τοὔνομα Ἀριστοξένην. Καὶ ἔστι γένος ἐν Μασσαλίᾳ ἀπὸ τῆς ἀνθρώπου μέχρι νῦν Πρωτιάδαι καλούμενον. Πρῶτος γὰρ ἐγένετο υἱὸς Εὐξένου καὶ τῆς Ἀριστοξένης. »

Apud Plutarchum in Vita Solonis c. 2, hic Protus conditor urbis Massiliæ fuisse dicitur, apud Justinum vero, qui rem paulo aliter narrat XLIII, 3 Protis appellatur.

175 (546).

Harpocration s. v. Μασσαλία : Ἰσοκράτης μέν φησιν ἐν Ἀρχιδάμῳ (§ 84) ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν· ὅτι δὲ πρὸ τούτων τῶν χρόνων ἤδη ὑπὸ Φωκαέων ᾤκιστο ἡ Μασσαλία καὶ Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν Πολιτείᾳ δηλοῖ.

Eadem Photius et Suidas qui tamen post ἀπῴκησαν tantum addunt : Μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ Ἀριστοτέλης.

ΜΕΓΑΡΕΩΝ.

176 (547).

Strabo VII, p. 322 : Ἐν δὲ τῇ Αἰτωλῶν (Πολιτείᾳ Ἀριστοτέλης) τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ, κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν· ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων.

Vide supra Strabonem de Republica Ætolorum.

ΜΕΘΩΝΑΙΩΝ.

176 ª (548).

Proverb. Coll. III, apud E. Miller, *Mélanges de littérature grecque*, Paris 1868, p. 369 : Ἀμουσότερος Λειβηθρίων. Λειβήθριοι ἔθνος ἐστὶ Πιερικόν, οὗ καὶ Ἀριστοτέλης μέμνηται ἐν τῇ Μεθωναίων Πολιτείᾳ. Λέγονται δὲ ἀμουσότατοι εἶναι οἱ Λειβήθριοι ἐπειδὴ παρ' αὐτοῖς ἐγένετο ὁ τοῦ Ὀρφέως θάνατος.

In cod. Λειβήθριον scriptum est. Zenob. I, 79 recte Λειβήθριοι. Pro Πιερικόν, ut recte legitur in Prov. Coll. IV, l.l. p. 377, codex a manu posteriori Περσικόν, cf. Bast, *Lettre critique*, p. 224 s. et quæ habet Boissonad. ad Aristænet. Ep. I, 27, p. 592. Methonæorum Rempublicam male

---

MASSILIENSIUM.

174.

Similem historiam narrat Aristoteles in Massiliensium Republica ita scribens : Phocæenses Ioniæ, mercaturam facientes, Massiliam condidere. Euxenus autem Phocæensis hospitio utebatur Nani; nomen id regi erat. Hic Nanus quum nuptias celebraret filiæ suæ, Euxenum, qui tunc forte Massiliam advenerat, ad epulum vocavit. Agebantur autem nuptiæ tali modo : post cœnam oportebat virginem in cœnaculum intrare, et vini pateram cui vellet ex præsentibus procis tradere; cui autem tradidisset, is sponsus erat. Ingressa igitur virgo, pateram sive casu, sive alia de causa tradidit Euxeno : nomen virgini Petta erat. Ita quum accidisset, pater, ratus volente deo huic pateram esse traditam, æquum censuit ut Euxeno collocaretur filia : isque eam duxit uxorem et mutato nomine Aristoxenam appellavit. Et superest ad hunc diem Massiliæ familia ab hac muliere originem ducens, qui Protiadæ nominantur. Fuit enim Protus filius Euxeni hujus et Aristoxenæ.

175.

Isocrates in Archidamo dicit Phocæenses Persarum regis dominationem fugientes Massiliam emigrasse. Ceterum jam ante hæc tempora Massiliam a Phocæensibus habitatam esse Aristoteles quoque in Massiliensium Republica tradit.

MEGARENSIUM.

176.

In Ætolorum Republica Aristoteles qui nunc Locri dicuntur Leleges nominat; eosdem etiam Bœotiam tenuisse ait. Similiter in Opuntiorum Republica et Megarensium.

METHONÆORUM.

176 ª.

Libethriis illepidior. Libethrii natio Pierica, cujus meminit etiam Aristoteles in Methonæorum Republica. Illepidissimi dicuntur Libethrii fuisse quia apud illos occisus est Orpheus.

pro Atheniensium nominatam apud Athenæum VI, 235, E, supra vidimus fragm. 93.

ΜΗΛΙΕΩΝ.

177 (549).

Suidas s. v. Τῶν φιλτάτων τὰ φίλτατα : Φησὶν Ἀριστοτέλης ἐν τῇ Μηλιέων Πολιτείᾳ τοὺς παῖδας γυμνοὺς ἐκφέρειν μέχρι ἐτῶν ις' καὶ καταφιλεῖν αὐτοὺς ἐν τοῖς συμποσίοις.

Hæc emendanda et supplenda sunt e Proverb. in Appendice Vaticana Centur. V, 3 : Τῶν φιλτάτων τὰ φίλτατα. Μηλίοις ἀνεῖλεν ὁ θεὸς φιλεῖν τῶν φιλτάτων τὰ φίλτατα· μέχρις οὖν ἐτῶν δέκα ἓξ γυμνοὺς περιέφερον τοὺς παῖδας καὶ κατεφίλουν ἐν Ὀλυμπίᾳ.

178 (550).

Photius s. v. Τὸ Μηλιακὸν πλοῖον : Τοῦτο ἐπὶ τῶν ἄγαν ῥεόντων πλοίων ἀπὸ ἱστορίας τινὸς εἴρηται· φησὶ γὰρ Ἀριστοτέλης Ἱππότην εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι· ἐπειδὴ γὰρ προφασιζόμενοι οἱ μὲν τὰς γυναῖκας αὐτοῖς ἀρρωστεῖν, οἱ δὲ τὰ πλοῖα ῥεῖν κατέμενον, κατηράσατο μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτὲ καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί.

Eadem Suidas s. v. et brevius omissa Aristotelis mentione idem s. v. Μηλιακόν, Apostolius Prov. XIX, 89. Prov. Vat. Append. IV, 4. Aliam explicationem proverbii dat Diogenian. Prov. VIII, 31 : Τὸ Μηλιακὸν πλοῖον : Ἐπὶ τῶν ἄγαν ῥεόντων πλοίων. Κατηράσαντο γὰρ Λακεδαιμόνιοι μηδέποτε στεγνὰ τὰ πλοῖα Μηλιέων γενέσθαι· παραβάται γάρ. De Hippote, Aletæ Corinthi conditoris patre, C. Müllerus qui totam hanc historiam illustravit ad Aristot. fragm. 143, conferri jubet Apollodor. II, 8, 3, Conon. 26, Pausan. II, 4, 3, III, 13, 3, Schol. Theocrit. V, 83, O. Müller, *die Dorer*, t. I, p. 84, 124.

(ΜΗΛΙΩΝ.)

179 (551).

Plinius Hist. nat. IV, s. 23 : *Melos cum oppido quam Aristides Byblida*, ARISTOTELES *Zephyrium*, *Callimachus Mimallida*, *Heraclides Siphim et Acyton. Hæc insularum rotundissima est.* Stephan. Byz. s. v. Μῆλος : Νῆσος μία τῶν Κυκλάδων, ὁμώνυμον ἔχουσα πόλιν. Φοίνικες οὖν οἰκισταὶ πρότερον, ὅθεν καὶ Βυβλὶς ἐκλήθη ἀπὸ τῶν Βυβλίων Φοινίκων· ἀλλὰ καὶ Ζεφυρία.

(ΜΙΛΗΣΙΩΝ.)

180 (552).

Parthenius Erotic. c. 14: Περὶ Ἀνθέως. Ἱστορεῖ Ἀριστοτέλης καὶ οἱ τὰ Μιλησιακά. — Ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεὺς ἐκ βασιλείου γένους ὡμήρευσε παρὰ Φοβίῳ ἑνὶ τῶν Νηλειδῶν τότε κρατοῦντι Μιλησίων. Τούτου Κλεόβοια, ἥν τινες Φιλαίχμην ἐκάλεσαν, τοῦ Φοβίου γυνὴ ἐρασθεῖσα πολλὰ ἐμηχανᾶτο εἰς τὸ προσαγαγέσθαι τὸν παῖδα. Ὡς δὲ ἐκεῖνος ἀπεωθεῖτο ποτὲ μὲν φάσκων ὀρρωδεῖν μὴ κατάδηλος γένοιτο, ποτὲ δὲ Δία ξένιον καὶ κοινὴν τράπεζαν προϊσχόμενος, ἡ Κλεόβοια κακῶς φερομένη ἐν νῷ εἶχε τίσασθαι αὐτὸν ἀνηλεῆ τε καὶ ὑπέραυχον ἀποκαλουμένη. Ἔνθα δὴ χρόνου προϊόντος τοῦ μὲν ἔρωτος ἀπηλλάχθαι προσεποιήθη, πέρδικα δὲ τιθασὸν εἰς βαθὺ φρέαρ κατασοβήσασα ἐδεῖτο τοῦ Ἀνθέως ὅπως κατελθὼν ἀνέλοιτο αὐτόν· τοῦ δὲ ἑτοίμως ὑπακούσαντος διὰ τὸ μηδὲν ὑφορᾶσθαι, ἡ Κλεόβοια ἐπισείει στιβαρὸν αὐτῷ πέτρον. Καὶ ὁ μὲν παραχρῆμα ἐτεθνήκει, ἡ δ' ἄρ' ἐννοηθεῖσα ὡς δεινὸν ἔργον δεδράκοι, καὶ ἄλλως δὲ καομένη σφοδρῷ ἔρωτι τοῦ παιδός,

---

MALIENSIUM.

177.

Carissimorum carissima. Aristoteles dicit in Maliensium Republica Malienses liberos usque ad ætatis annum decimum sextum nudos circumferre et deosculari in conviviis.

Malienses deus jussit diligere carissima carissimorum. Liberos igitur usque ad annum sextum decimum ætatis nudos circumferebant et deosculabantur Olympiæ.

178.

Maliacum navigium dicitur de vetusto et rimarum pleno navigio ab historia quadam. Aristoteles enim refert Hippoten, quum coloniam deducturus esset, imprecatum esse iis qui secum navigare recusassent. Nam quum alii uxorum infirmitatem, alii rimas navigiorum prætexentes domi manerent, imprecatus iis est, ut nunquam firmis uterentur navigiis, feminarumque imperio semper subjecti essent.

(MILESIORUM.)

180.

De Antheo. Narrat Aristoteles et scriptores rerum Milesiacarum. — Antheus regii generis ex Halicarnasso adolescens Phobio Nelidæ tunc Milesiis imperanti obses datus fuit. In hujus amorem Cleobœa, quam quidam Philæchmem vocarunt, Phobii uxor illata, multa sane machinata est, quibus adolescentem illiceret. Quum autem ille eam aversaretur aliquando quidem timorem prætexuit, ne videlicet manifestum id fieret, aliquando autem hospitii jus et communem mensam causatus est, tamdiu ut Cleobœa ægre rem ferens, in animo haberet ulcisci eum, immisericordem ipsum et superbum vo-

ἀναρτᾷ ἑαυτήν. Φόβιος μέντοι διὰ ταύτην τὴν αἰτίαν ὡς ἐναγὴς παρεχώρησε Φρυγίῳ τῆς ἀρχῆς· ἔφασαν δέ τινες οὐ πέρδικα, σκεῦος δὲ χρυσοῦν εἰς τὸ φρέαρ βεβλῆσθαι, ὡς καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς μέμνηται ἐν τοῖσδε ἐν Ἀπόλλωνι... Cf. Anthol. gr. ed Jacobs. t. VII, p. 239 sqq.

181 (553).

Athenæus XII, p. 523, E : Μιλήσιοι δὲ ἕως μὲν οὐκ ἐτρύφων, ἐνίκων Σκύθας, ὥς φησιν Ἔφορος, καὶ τάς τε ἐφ' Ἑλλησπόντῳ πόλεις ἔκτισαν καὶ τὸν Εὔξεινον πόντον κατῴκισαν πόλεσι λαμπραῖς, καὶ πάντες ἐπὶ τὴν Μίλητον ἔθεον· ὡς δ' ὑπήχθησαν ἡδονῇ καὶ τρυφῇ κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης, καὶ παροιμία τις ἐγεννήθη ἐπ' αὐτῶν· « Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. »

Ex Athenæo Eustath. ad Il. ψ, 444, p. 1358, 5 Rom. Versus a Zenobio; Prov. V, 80 Anacreonti tribuitur, fr. 86 apud Bergkium. Cf. præterea Suidas s. v., Apostol. Prov. XIII, 85, Diogenian. V, 3, Hesychius, Photius, Philostrat. Vit. Sophist. XXII, 4.

ΝΑΞΙΩΝ.

182 (554).

Athenæus VIII, p. 348, A : Ἀριστοτέλης ἐν τῇ Ναξίων Πολιτείᾳ περὶ τῆς παροιμίας (Οὐδεὶς κακὸς μέγας ἰχθύς scil.) οὕτω γράφει· « Τῶν παρὰ Ναξίοις εὐπόρων οἱ μὲν πολλοὶ τὸ ἄστυ ᾤκουν, οἱ δὲ ἄλλοι διεσπαρμένοι κατὰ κώμας. Ἐν οὖν δή τινι τῶν κωμῶν, ᾗ ὄνομα ἦν Ληστάδαι, Τελεσταγόρας ᾤκει πλούσιός τε σφόδρα καὶ εὐδοκιμῶν καὶ τιμώμενος παρὰ τῷ δήμῳ τοῖς τ' ἄλλοις ἅπασι καὶ τοῖς καθ' ἡμέραν πεμπομένοις. Καὶ ὅτε καταβάντες ἐκ τῆς πόλεως δυσωνοῖντό τι τῶν πωλουμένων, ἔθος ἦν τοῖς πωλοῦσι λέγειν ὅτι μᾶλλον ἂν προέλοιντο Τελεσταγόρᾳ δοῦναι ἢ τοσούτου ἀναδόσθαι. Νεανίσκοι οὖν τινὲς ὠνούμενοι μέγαν ἰχθύν, εἰπόντος τοῦ ἁλιέως τὰ αὐτά, λυπηθέντες τῷ πολλάκις ἀκούειν, ὑποπιόντες ἐκώμασαν πρὸς αὐτόν. Δεξαμένου δὲ τοῦ Τελεσταγόρου φιλοφρόνως αὐτούς, οἱ νεανίσκοι αὐτόν τε ὕβρισαν καὶ δύο θυγατέρας αὐτοῦ ἐπιγάμους. Ἐφ' οἷς ἀγανακτήσαντες οἱ Νάξιοι καὶ τὰ ὅπλα ἀναλαβόντες ἐπῆλθον τοῖς νεανίσκοις· καὶ μεγίστη τότε στάσις ἐγένετο, προστατοῦντος τῶν Ναξίων Λυγδάμιδος, ὃς ἀπὸ ταύτης τῆς στρατηγίας τύραννος ἀνεφάνη τῆς πατρίδος.

183 (555).

Plutarch. De mulier. virtutibus c. 17 : Ναξίοις καὶ Μιλησίοις συνέστη πόλεμος διὰ τὴν Ὑψικρέοντος τοῦ Μιλησίου γυναῖκα, Νέαιραν. Αὕτη γὰρ ἠράσθη Προμέδοντος Ναξίου, καὶ συνέπλευσεν· ὃς ἦν μὲν ξένος τοῦ Ὑψικρέοντος, ἐρασθείσῃ δὲ τῇ Νεαίρᾳ συνῆλθε καὶ τὸν ἄνδρα φοβουμένην ἀπαγαγὼν εἰς Νάξον ἱκέτιν τῆς Ἑστίας ἐκάθισεν. Τῶν δὲ Ναξίων οὐκ ἐκδιδόντων, χάριν τοῦ Προμέδοντος, ἄλλως δὲ ποιουμένων πρόφασιν τὴν ἱκετείαν, ὁ πόλεμος συνέστη. Τοῖς δὲ Μιλησίοις ἄλλοι τε πολλοί, καὶ προθυμότατα τῶν Ἰώνων Ἐρυθραῖοι συνεμάχουν, καὶ μῆκος ἔσχε καὶ συμφορὰς ἤνεγκε μεγάλας ὁ πόλεμος· εἶτ' ἐπαύσατο δι' ἀρετὴν γυναικός, ὡς συνέστη διὰ μοχθηρίαν. Διόγνη-

---

cans. Quare temporis progressu amorem in se exstinctum simulabat, ac perdicem cicurum in profundum puteum demittens, Antheum rogavit ut descenderet atque extraheret illam. Ille itaque quum nihil mali suspicatus prompte obediret, Cleobœa super eum dejecit ingens saxum, unde ille statim mortuus est. Ipsa vero animo volvens quam grave flagitium perpetrasset, atque alias etiam vehementi adolescentis amore flagrans, se ipsam suspendit. Porro Phobius ob eandem causam tanquam scelestus Phrygio regnum cessit. Dixerunt autem nonnulli non perdicem, sed vasculum aureum in puteum projectum fuisse, ut Alexander quoque Ætolus.

181.

Milesii postquam voluptatibus et luxuriæ succubuerunt, enervatum concidit civitatis robur, ut ait Aristoteles, et enatum in eos est proverbium : *Fortes olim fuerunt Milesii.*

NAXIORUM.

182.

Aristoteles in Naxiorum Republica, ubi proverbii *Nullus piscis magnus est malus* meminit, hæc scribit : Eorum qui apud Naxios copia rei familiaris abundabant alii habitabant in urbe, alii per vicos sparsim vitam agebant. In uno igitur ex vicis, cui Lestadæ nomen, habitabat Telestagoras, vir prædives et optimæ apud eos famæ; quem honorabat populus cum aliis omnibus rebus, tum missis quotidie muneribus. Et si quando oppidani, in vicos digressi, emere aliquid rerum venalium vellent, sed minoris licitarentur quam par esset, solebant venditores respondere, malle se Telestagoræ dare quam eo pretio addicere. Aliquando igitur juvenes nonnulli magnum piscem mercantes, quum idem illud respondisset iis piscator, ægre ferentes sæpius illud verbum a se audiri, jam bene adpoti ad eum perrexerunt comissabundi. Quos quum benigne accepisset Telestagoras, illi et ipsum et duas nubiles filias contumelia affecerunt. Quibus indignantes Naxii, arreptis armis impetum in juvenes fecere : et maxima tum exorta est seditio, in qua præerat Naxiis Lygdamis, qui ab hoc imperio tyrannus patriæ evasit.

183.

Propter Neæram Hypsicreontis Milesii uxorem bellum inter Naxios et Milesios ortum fuit. Ea enim quum

τος γάρ ὁ τῶν Ἐρυθραίων στρατηγός, ἔχων καὶ πεπιστευμένος ἔρυμα κατὰ τῆς Ναξίων πόλεως εὖ πεφυκὸς καὶ κατεσκευασμένον, ἠλάσατο λείαν τῶν Ναξίων πολλήν, καὶ γυναῖκας ἐλευθέρους καὶ παρθένους ἔλαβεν. Ὧν μιᾶς, Πολυκρίτης, ἐρασθείς, εἶχεν αὐτὴν οὐχ ὡς αἰχμάλωτον, ἀλλ' ἐν τάξει γαμετῆς γυναικός. Ἑορτῆς δὲ τοῖς Μιλησίοις καθηκούσης ἐν τῇ στρατιᾷ, καὶ πρὸς πόσιν ἁπάντων καὶ συνουσίας τραπομένων, ἠρώτησε τὸν Διόγνητον ἡ Πολυκρίτη, μή τι κωλύοι πεμμάτων μερίδας ἀποπέμψαι τοῖς ἀδελφοῖς αὐτῆς. Ἐπιτρέψαντος δ' ἐκείνου καὶ κελεύσαντος ἐνέβαλε μολίβδινον γραμματίδιον εἰς πλακοῦντα, κελεύσασα φράσαι τὸν κομίζοντα τοῖς ἀδελφοῖς, ὅπως αὐτοὶ μόνοι καταναλώσωσιν ἃ ἔπεμψεν. Οἱ δ' ἐντυχόντες τῷ μολίβδῳ, καὶ τὰ γράμματα τῆς Πολυκρίτης ἀναγνόντες, κελευούσης νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, ὡς ὑπὸ μέθης διὰ τὴν ἑορτὴν ἐξημελημένων πάντων, προσήγγειλαν τοῖς στρατηγοῖς, καὶ παρώρμησαν ἐξελθεῖν μετ' αὐτῶν. Ἁλόντος δὲ τοῦ χωρίου, καὶ πολλῶν διαφθαρέντων, ἐξητήσατο τὸν Διόγνητον ἡ Πολυκρίτη παρὰ τῶν πολιτῶν, καὶ διέσωσεν. Αὐτὴ δὲ πρὸς ταῖς πύλαις γενομένη τοὺς πολίτας ἀπαντῶντας αὐτῇ, μετὰ χαρᾶς καὶ στεφάνων ὑποδεχομένους καὶ θαυμάζοντας, οὐκ ἤνεγκε τὸ μέγεθος τῆς χαρᾶς, ἀλλ' ἀπέθανεν αὐτοῦ πεσοῦσα περὶ τὴν πύλην· ὅπου τέθαπται, καὶ καλεῖται βασκάνου τάφος, ὡς βασκάνῳ τινὶ τύχῃ τὴν Πολυκρίτην φθονηθεῖσαν ἀπολαῦσαι τῶν τιμῶν. Οὕτω μὲν οἱ Ναξίων συγγραφεῖς ἱστοροῦσιν· ὁ δ' Ἀριστοτέλης φησίν, οὐδ' ἁλούσης τῆς Πολυκρίτης, ἄλλως δέ πως ἰδόντα τὸν Διόγνητον ἐρασθῆναι, καὶ πάντα διδόναι καὶ ποιεῖν ἕτοιμον εἶναι· τὴν δὲ ὁμολογεῖν ἀφίξεσθαι πρὸς αὐτόν, ἑνὸς μόνου τυχοῦσαν, περὶ οὗ τὸν Διόγνητον (ὥς φησιν ὁ φιλόσοφος) ὅρκον ᾔτησεν· ἐπεὶ δ' ὤμοσεν, ἠξίου τὸ Δήλιον αὐτῇ δοθῆναι (Δήλιον γὰρ ἐκαλεῖτο τὸ χωρίον), ἄλλως δ' οὐκ ἂν ἔφη συνελθεῖν. Ὁ δὲ καὶ διὰ τὴν ἐπιθυμίαν καὶ διὰ τὸν ὅρκον ἐξέστη, καὶ παρέδωκε τῇ Πολυκρίτῃ τὸν τόπον, ἐκείνη δὲ τοῖς πολίταις. Ἐκ δὲ τούτου πάλιν εἰς ἴσον καταστάντες, ἐφ' οἷς ἠβούλοντο, πρὸς τοὺς Μιλησίους διελύθησαν.

Eadem narratio, contractior apud Polyænum VIII, 36, nonnullis vero ornatior apud Parthenium ex Andrisci libro primo Ναξιακῶν legitur. Ubi et illud additur Theophrastum quoque ἐν τῷ δ' Πρὸς τοὺς καιρούς, ejus meminisse. De Polycritæ subita morte refert quoque A. Gellius Noct. Att. III, 15 : *Cognito repente insperato gaudio exspirasse animam refert* Aristoteles *philosophus, Polycritam nobilem feminam Naxo insula.*

ΟΠΟΥΝΤΙΩΝ.

184 (556).

Strabo VII, p. 321 : Ἐν δὲ τῇ Αἰτωλῶν (Πολιτείᾳ Ἀριστοτέλης) τοὺς νῦν Λοκροὺς Λέλεγας

---

amaret Promedontem Naxium mariti sui hospitem, corpus cum eo miscuit, veritaque iram mariti, cum eo in Naxum navigavit. Eam Promedon supplicem Vestæ collocavit. Naxiis autem mulierem sub præscriptione supplicationis in gratiam Promedontis non dedentibus, bellum quod dixi, conflatum est. Milesiis cum alii multi, tum Ionum studiosissime Erythræi auxilia tulelunt, bellumque hoc tractum magnis calamitatibus, tandem virtute mulieris finitum est, sicuti cœperat mulieris ob pravitatem. Diognetus Erythræorum dux munitionem quandam sibi commissam tenebat, opportune admodum contra Naxiorum urbem sitam; itaque et magnam Naxiis prædam abstulit, et mulieres ac virgines liberas. Harum unam, nomine Polycritam, amore captus, secum non ut captivam, sed uxoris loco habuit. Evenit ut in castris Milesiorum dies ageretur festus : ibi quum omnes poculis essent ac conviviis dediti, rogavit Diognetum Polycrita, ut liceret sibi fratribus partes placentarum mittere. Quumque is permitteret ac juberet, plumbeam tabellam placentæ inseruit, mandato ei qui eam fratribus afferebat, ut solos vesci juberet fratres iis quæ mittebat. Hi quum offendissent tabellam et legissent quæ scripserat Polycrita (hortabatur autem ut noctu hostes adorirentur, ob ebrietatem festo die contractam plane socordia dissolutos), rem ducibus Naxiorum significaverunt, et permoverunt ut secum exirent rei gerendæ causa. Occupato a Naxiis castello, multisque hostium interfectis, Diogneto precibus Polycrita a civibus impetravit salutem. Ipsa autem civibus ad portam occurrentibus magno cum gaudio, collaudantibusque et serta ferentibus, magnitudine lætitiæ exanimata, in ipsa porta concidit mortua : atque ibi sepulta est, et monimentum ejus vocatur *livoris tumulus* : quod invidia quadam fortunæ fascinata Polycrita putaretur meritis honoribus non potuisse frui. Hæc Naxiorum historicorum est narratio. Aristoteles captam Polycritam fuisse non dicit, sed conspectam a Diogneto, sui eum amore irretivisse, ipsumque promisisse omnia se, ut ea potiretur, dare ac facere paratum esse : Polycritam se ad ipsum venturam pollicitam, si unicum quippiam ab eo obtineret, fuisse : quumque id jurejurando interposito Diognetus confirmasset, tradi sibi Delium postulasse (id enim castello nomen erat), aliter se morem gesturam ipsi negasse : victum amore Diognetum, et jurisjurandi permotum religione, Polycritæ castellum, hocque eam civibus tradidisse. Ita Naxios rursus Milesiis pares viribus factos, pacem in suas leges confecisse.

OPUNTIORUM.

184.

In Ætolorum Republica Aristoteles qui nunc Locri dicuntur Leleges nominat; eosdem etiam Bœotiam te·

καλεῖ, κατασχεῖν δε καὶ τὴν Βοιωτίαν αὐτούς φησιν· ὁμοίως δὲ καὶ ἐν τῇ Ὀπουντίων καὶ Μεγαρέων.

Cf. supra Ætolorum Respublica et Stephan. Byz. s. v. Φύσκος, cujus verba ad sequens fragmentum dedimus.

185 (557).

Schol. Pindari Olymp, IX, 86 : Ἀπὸ γᾶς Ἐπειῶν : Ἐπειῶν τῶν Ἠλείων... Ὀποῦντος ἦν θυγάτηρ Ἠλείων βασιλέως, ἣν Ἀριστοτέλης Καμβύσην καλεῖ.

Ex Aristotele, ut videtur, Plutarch. Quæst. gr. c. 15 : Τίς ἡ ξυλίνη κύων παρὰ Λοκροῖς; Φύσκου τοῦ Ἀμφικτύονος υἱὸς ἦν Λοκρός, ἐκ δὲ τούτου καὶ Καβύης Ὀποῦς (ita pro Λοκρός legendum vidit Bournot. l. l. p. 285). Πρὸς ὃν ὁ πατὴρ διενεχθεὶς καὶ συχνοὺς τῶν πολιτῶν ἀναλαβὼν περὶ ἀποικίας ἐμαντεύετο· τοῦ δὲ θεοῦ φήσαντος κτίζειν πόλιν, ὅπου περ ἂν τύχῃ δηχθεὶς ὑπὸ κυνὸς ξυλίνης, ὑπερβαίνων εἰς τὴν ἑτέραν θάλασσαν ἐπάτησε κυνόσβατον· ἐνοχληθεὶς δὲ τῇ πληγῇ διέτριψεν ἡμέρας αὐτόθι πλείονας, ἐν αἷς καταμαθὼν τὸ χωρίον ἔκτισε πόλεις Φυσκεῖς καὶ Ὑάνθειαν (Ὑαντίαν Steph. Byz. s. v. Ὕαντες) καὶ τὰς ἄλλας ὅσας οἱ κληθέντες Ὀζόλαι Λοκροὶ κατῴκησαν. Cf. Eustath. ad Iliad. p. 277, 17, Steph. Byz. s. v. Φύσκος, apud quem verba, Φύσκος δὲ ἀφ' οὗ οἱ Λέλεγες οἱ νῦν Λοκροί, Aristotelis esse, satis probabiliter suspicatur Rosius, collato Strabone VII, p. 321 : Ἀριστοτέλης... τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ. Athen. II, p. 70, C, hæc habet : Δίδυμος δ' ὁ γραμματικὸς ἐξηγούμενος παρὰ τῷ Σοφοκλεῖ τὸ « κύναρος ἄκανθα », μήποτε φησὶ τὴν κυνόσβατον λέγει διὰ τὸ ἀκανθῶδες καὶ τραχὺ εἶναι τὸ φυτόν· καὶ γὰρ ἡ Πυθία ξυλίνην κύνα αὐτὸ εἶπε καὶ ὁ Λοκρὸς χρησμὸν λαβών, ἐκεῖ πόλιν οἰκίζειν, ὅπου ἂν ὑπὸ ξυλίνης κυνὸς δηχθῇ, καταμυχθεὶς τὴν κνήμην ὑπὸ κυνοσβάτου, ἔκτισε τὴν πόλιν. Cf. Hesychius s. v. Κύναρος.

186 (558).

Harpocration : Ἄμφισσα : Πόλις τῆς Λοκρίδος· Ἀριστοτέλης ἐν τῇ Ὀπουντίων Πολιτείᾳ οὕτω λέγει· « Ἀνδραίμων δὲ ἦν οἰκιστής, Ἄμφισσαν δ' ὠνόμασαν διὰ τὸ περιέχεσθαι τὸν τόπον ὄρεσιν. »

Eadem etymologia apud Suidam s. v. et Zonaram p. 151. Aliter Pausanias X, 38.

187 (559).

Hesychius : Ἄσπετος : ὁ Ἀχιλλεὺς ἐν Ἠπείρῳ ὥς φησιν Ἀριστοτέλης ἐν Ὀπουντίων Πολιτείᾳ.

Cf. Plutarch. Vita Pyrrhi, c. 1 : Ἀχιλλεὺς ἐν Ἠπείρῳ τιμὰς ἰσοθέους ἔσχεν Ἄσπετος ἐπιχωρίῳ φωνῇ προσαγορευόμενος. Ptolemæus Hephæstio in Photii Biblioth. p. 147, 18 Bekker : Ἐκαλεῖτο (ὁ Ἀχιλλεὺς scil.) δὲ καὶ Ἰσσά, καὶ Πύρρα, καὶ Ἄσπετος. De Achille locutum esse Aristotelem ob Patroclum Opuntium notavit C. Müllerus fr. 121.

188 (560).

Chœroboscus ad Theodosii Canones t. I, p. 75, 23 Gaisf. (p. 1393 in Anecd. Bekk.) : Τὰ εἰς δων λήγοντα δισύλλαβα βαρύτονα διὰ τοῦ ω κλίνονται, εἰ μὴ μετοχικὴν κλίσιν ἀναδέχονται, οἷον κώδων... τὸ Μέδων, ἔστι δὲ κύριον ὄνομα, ὁ μὲν ποιητὴς Ὅμηρος διὰ τοῦ ντ κλίνει, οἷον Μέδοντος, τῷ λόγῳ τῶν μετοχικῶν, Ἰσαῖος δὲ ὁ ῥήτωρ καὶ Ἀριστοτέλης ἐν Ὀπουντίων Πολιτείᾳ Μέδωνος φησὶν ἀναλόγως. Locus Homeri est Il. β, 727, cf. ν, 693, Eustath. p. 277, 17, Schol. Vict. ad Il. ν. 694 et Etymol. M. p. 606, 10.

---

nuisse ait. Similiter in Opuntiorum Republica et Megarensium.

185.

Opuntis, Eleorum regis, filia erat, quam Aristoteles Cambysen nominat.

Quæ est canis lignea apud Locros? Locrus Physcii filius Amphictyonis nati ex Cabya filium habuit Locrum, cum quo postquam in discordiam incidit, magno civium numero assumpto, oraculum de colonia deducenda consuluit : tulitque responsum ibi se urbem condere debere, ubi morsus esset a cane lignea. Mari trajecto rubum caninum (*cynosbaton*, id est fruticem spinosum) calcavit, vulnereque vexatus, per aliquot dies ibi commoratus, regionis natura considerata, Physcenses, Hyanthiamque condidit, urbesque alias, quæ a Locris deinde Ozolis cultæ sunt.

186.

Amphissa urbs Locridos. Aristoteles in Opuntiorum Republica sic ait : Andræmon fuit conditor, Amphissa vero urbs nuncupata est propterea quod locus montibus circumdatus erat.

187.

Aspetus in Epiro Achilles cognominatur, ut ait Aristoteles in Opuntiorum Republica.

188.

Medon, nomen proprium apud Homerum ad rationem participiorum ita flectitur ut genetivus sit Medontis; sed Isæus orator et Aristoteles in Opuntiorum Republica Medonis in genetivo casu dixerunt.

ΟΡΧΟΜΕΝΙΩΝ.

189 (561).

Joannes Tzetzes Proleg. ad Comm. in Hesiodi Opera, p. 15 Gaisf. : Τὸν παλαιὸν δὲ Ὅμηρον Διονύσιος ὁ κυκλογράφος φησὶν ἐπ' ἀμφοτέρων ὑπάρχειν τῶν Θηβαϊκῶν στρατειῶν καὶ τῆς Ἰλίου ἁλώσεως. Ἐκ τούτου γοῦν λογίζομαι τοῦτον τοῦ Ἡσιόδου εἶναι υ' ἐτῶν προγενέστερον. Ἀριστοτέλης γὰρ ὁ φιλόσοφος, μᾶλλον δ' οἶμαι ὁ τοὺς Πέπλους συντάξας, ἐν τῇ Ὀρχομενίων Πολιτείᾳ Στησίχορον τὸν μελοποιὸν εἶναί φησιν υἱὸν Ἡσιόδου ἐκ τῆς Κλυμένης αὐτῷ γεννηθέντα τῆς Ἀμφιφάνους καὶ Γανύκτορος ἀδελφῆς, θυγατρὸς δὲ Φηγέως· ὁ δὲ Στησίχορος οὗτος σύγχρονος ἦν Πυθαγόρᾳ τῷ φιλοσόφῳ καὶ τῷ Ἀκραγαντίνῳ Φαλάριδι· οἱ δὲ Ὁμήρου υ' ὑστέριζον ἔτεσι, καθά φησι καὶ Ἡρόδοτος (II, 53)... Τελευτᾷ δὲ Ἡσίοδος ἐν Λοκρίδι τοιουτοτρόπως. Μετὰ τὴν νίκην, ἣν αὐτὸν νενικηκέναι φασὶν ἐπὶ τῇ τελευτῇ Ἀμφιδάμαντος, εἰς Δελφοὺς ἐπορεύθη, καὶ ἐδόθη αὐτῷ οὑτοσὶ ὁ χρησμός·

> Ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
> Ἡσίοδος Μούσῃσι τετιμένος ἀθανάτῃσι·
> τοῦ δή τοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς.
> Ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
> κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

Ὁ δὲ τὴν ἐν Πελοποννήσῳ Νεμέαν φυγὼν ἐν Οἰνόῃ τῆς Λοκρίδος ὑπὸ Ἀμφιφάνους καὶ Γανύκτορος τῶν Φηγέως παίδων ἀναιρεῖται καὶ ῥίπτεται εἰς τὴν θάλασσαν ὡς φθείρας τὴν ἀδελφὴν ἐκείνων Κλυμένην, ἐξ ἧς ἐγεννήθη Στησίχορος. Ἐκαλεῖτο δὲ ἡ Οἰνόη Διὸς Νεμείου ἱερόν. Μετὰ δὲ τρίτην ἡμέραν ὑπὸ δελφίνων πρὸς τὸν αἰγιαλὸν ἐξήχθη τὸ σῶμα μεταξὺ Λοκρίδος καὶ Εὐβοίας, καὶ ἔθαψαν αὐτὸν Λοκροὶ ἐν Νεμέᾳ τῇ τῆς Οἰνόης. Οἱ δὲ φονεῖς αὐτοῦ νηὸς ἐπιβάντες ἐπειρῶντο φυγεῖν, χειμῶνι δὲ διεφθάρησαν. Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ θάπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ καὶ ἐπέγραψαν τάδε·

> Ἄσκρη μὲν πατρὶς πολυλήιος· ἀλλὰ θανόντος
> ὀστέα πληξίππων γῆ Μινύων κατέχει
> Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν,
> ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

Ἐπέγραψε δὲ καὶ Πίνδαρος·

> Χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας,
> Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.

Eadem fere in Certamine Homeri et Hesiodi sunt c. 15 sq. Quæ ibi similia de Homeri morte narrantur, eorum partis fontem fuisse Aristotelem in Dialogo de Poetis supra jam vidimus; quamquam de his satis difficile est judicium facere, propter scriptorum quibus hæc debentur levitatem. Ceterum de Hesiodi duplici sepultura Aristotelem in Orchomeniorum Republica narravisse testatur Plutarchus apud Proclum in Hes. O. et D. v. 631 (fr. 36, t. V, p. 28 Plutarchi Operum ed. Didot.) : Ἀοίκητον δὲ αὐτὸ (τὴν Ἄσκραν sc.) ὁ Πλούταρχος ἱστορεῖ καὶ τότε εἶναι, Θεσπιέων ἀνελόντων τοὺς οἰκοῦντας, Ὀρχομενίων δὲ τοὺς σωθέντας δεξαμένων· ὅθεν καὶ τὸν θεὸν Ὀρχομενίοις προστάξαι τὰ Ἡσιόδου λείψανα λαβεῖν καὶ θάψαι παρ' αὐτοῖς, ὡς καὶ Ἀριστοτέλης φησὶ γράφων τὴν Ὀρχο-

---

ORCHOMENIORUM.

189.

Aristoteles philosophus, vel potius, mea quidem sententia, Peplorum auctor, in Orchomeniorum Republica Stesichorum lyricum ait filium esse Hesiodi e Clymene natum, Amphiphanis et Ganyctoris sorore, Phegeique filia. Fuit autem hic Stesichorus æqualis Pythagoræ philosophi et Phalaridis Agrigentini, quos constat posteriores fuisse Homero quadringentis annis, quemadmodum etiam Herodotus testatur... De morte autem Hesiodi sciendum, illum in Locride hac ratione vitam finiisse. Post victoriam, quam ipsi contigisse aiunt in funebribus justis Amphidamantis, profectus est Delphos, datumque illi fuit hoc oraculum :

> Felix ille vir est, nostram qui circumit sedem
> Hesiodus Musis, quæ non moriuntur, amatus,
> Cujus tam late extendet se gloria famæ,
> Quam late terras Phœbus prospectat Eoas.
> Tu vero memora ista Jovi sacrata Nemeo
> Custodi, fatum cui mortem destinat atram.

Ille autem quum Nemeam in Peloponneso relinqueret, Œnoæ in Locride ab Amphiphane et Ganyctore Phegei filiis interficitur et projicitur in mare, putantibus ipsum stupratorem esse Clymenes sororis ipsorum, ex qua natus fuit Stesichorus. Vocabatur autem Œnoe Jovis Nemei templum. Verumenimvero post triduum delphines cadaver e mari ducunt et in littore deponunt quod Locridem et Eubœam disterminat et sepeliverunt ipsum Locrenses in Nemea Œnoensi. Auctores vero cædis conscensis navibus conabantur fugam quærere, sed tempestate perierunt. Orchomenii postea, oraculo moniti, ossa jam sepulti Hesiodi ex Nemea auferunt, eaque in medio suo foro terræ reddunt, his versibus super monumentum inscriptis :

> Ascra solum patrium fuerat, non fertile multum,
> Hesiodi, corpus sed Minya ora tenet.
> Inter mortales semper celebrabitur omnes,
> Qui bona prudenter facta probare solent.

Scripsit etiam Pindarus tale epitaphium :

> Salve, iterum pubescens ac bis condite, salve,
> Hesiode, humanæ qui modus es sophiæ.

Ascram jam tunc desertam fuisse tradit Plutarchus, incolis a Thespiensibus trucidatis, iisque qui stragem effugissent ab Orchomeniis in urbem receptis. Unde etiam deum Orchomeniis imperasse, ut Hesiodi ossa apud se

μενίων Πολιτείαν. Cf. Append. Prov. IV, 92 t. I, p. 456 ed. Gotting. s. v. Τὸ Ἡσιόδειον γῆρας: Ἀριστοτέλης ἐν Ὀρχομενίων Πολιτείᾳ δὶς τεθάφθαι φησὶ τὸν Ἡσίοδον καὶ ἐπιγράμματος τοῦδε τυχεῖν· « Χαῖρε κτέ. » Παρόσον τό τε γῆρας ἀπέβη καὶ δὶς ἐτάφη. Apud Macarium VIII, 49 et Suidam sub eodem lemmate epigramma Pindaro tribuitur, cf. Bergk, in Poetar. lyric. ed. tertia, p. 383. Quæ e Plutarcho laudat Proclus ea in Septem sapient. convivio c. 19 legi putat Rosius. Conjectura satis est probabilis, licet Ascræ, propter quam ad Plutarchum provocat Proclus, nulla ibi mentio fiat. Verba autem Plutarchi Aristotelicam, ut videtur, narrationem referentia hæc sunt l. l.: Ἀνθρώπινον δὲ καὶ πρὸς ἡμᾶς τὸ τοῦ Ἡσιόδου πάθος· ἀκήκοας γὰρ ἴσως τὸν λόγον. Οὐκ ἔγωγε, εἶπον. Ἀλλὰ μὴν ἄξιον πυθέσθαι. Μιλησίου γὰρ ὡς ἔοικεν ἀνδρός, ᾧ ξενίας ἐκοινώνει Ἡσίοδος καὶ διαίτης ἐν Λοκροῖς, τῇ τοῦ ξένου θυγατρὶ κρύφα συγγενομένου καὶ φωραθέντος, ὑποψίαν ἔσχεν ὡς γνοὺς ἀπ' ἀρχῆς καὶ συνεπικρύψας τὸ ἀδίκημα, μηδενὸς ὢν αἴτιος, ὀργῆς δὲ καιρῷ καὶ διαβολῇ περιπεσὼν ἀδίκως. Ἀπέκτειναν γὰρ αὐτὸν οἱ τῆς παιδίσκης ἀδελφοὶ περὶ τὸ Λοκρικὸν Νέμειον ἐνεδρεύσαντες καὶ μετ' αὐτοῦ τὸν ἀκόλουθον ᾧ Τρώϊλος ἦν ὄνομα. Τῶν δὲ σωμάτων εἰς τὴν θάλασσαν ὠσθέντων, τὸ μὲν τοῦ Τρωΐλου εἰς τὸν Δάφνον ποταμὸν ἔξω φερόμενον ἐπεσχέθη περικλύστῳ χοιράδι μικρὸν ὑπὲρ τὴν θάλασσαν ἀνεχούσῃ· καὶ μέχρι νῦν Τρώϊλος ἡ χοιρὰς καλεῖται. Τοῦ δὲ Ἡσιόδου τὸν νεκρὸν εὐθὺς ἀπὸ γῆς ὑπολαβοῦσα δελφίνων ἀγέλη πρὸς τὸ Ῥίον ἐκόμιζε καὶ τὴν Μολυκρίαν. Ἐτύγχανε δὲ Λοκροῖς ἡ τῶν Ῥιείων (Ἀριαδνείων legitur in Certamine Homeri et Hesiodi c. 15) καθεστῶσα θυσία καὶ πανήγυρις, ἣν ἄγουσιν ἔτι νῦν περιφανῶς περὶ τὸν τόπον ἐκεῖνον. Ὡς δὲ ὤφθη προσφερόμενον τὸ σῶμα, θαυμάσαντες ὡς εἰκὸς ἐπὶ τὴν ἀκτὴν κατέδραμον καὶ γνωρίσαντες ἔτι πρόσφατον τὸν νεκρόν, ἅπαντα δεύτερα τοῦ ζητεῖν τὸν φόνον ἐποιοῦντο, διὰ τὴν δόξαν τοῦ Ἡσιόδου. Καὶ τοῦτο μὲν ταχέως ἔπραξαν εὑρόντες τοὺς φονεῖς· αὐτούς τε γὰρ κατεπόντισαν ζῶντας καὶ τὴν οἰκίαν κατέσκαψαν. Ἐτάφη δὲ Ἡσίοδος πρὸς τῷ Νεμείῳ (cf. Thucydides III, 96, 102, Pausanias IX, 38)· τὸν δὲ τάφον οἱ πολλοὶ τῶν ξένων οὐκ ἴσασιν, ἀλλ' ἀποκέκρυπται ζητούμενος ὑπ' Ὀρχομενίων, ὥς φασι, βουλομένων κατὰ χρησμὸν ἀνελέσθαι τὰ λείψανα καὶ θάψαι παρ' αὐτοῖς.

De dubitatione, satis leviter a Tzetze mota, Pindari epigramma ab auctore Pepli, non vero ab eo qui Orchomeniorum Rempublicam conscripserat servatum fuisse, postea dicemus quum de Peplo disputabimus.

190 (562).

Pollux X, 165: Καὶ ὅταν μὲν ἐν Ἀχαρνεῦσιν (v. 108) εἴπῃ Ἀριστοφάνης ἀχάνας χρυσίου, τὸ ἀγγεῖον ἴσως Περσικόν· ἔνιοι δὲ τὴν θεωρικὴν κίστην οὕτω κεκλῆσθαι νομίζουσιν. Ἐν δὲ Ἀριστοτέλους Ὀρχομενίων Πολιτείᾳ μέτρον ἐστὶν Ὀρχομένιον τετταράκοντα πέντε μεδίμνους χωροῦν Ἀττικούς. Οἱ δὲ κοιτίδας τὰς Πυθῶδε ἰόντων, ὅτε καὶ τὰ λεβητάρια καλοῦσι ταναγρίδας.

Schol. Aristoph. Acharn. 108: Οὔχ, ἀλλ' ἀχάνας: Ἀχάνη μέτρον ἐστὶ Περσικόν, ὥσπερ ἡ ἀρτάβη παρ' Αἰγυπτίοις. Ἐχώρει δὲ μεδίμνους Ἀττικοὺς με', ὡς μαρτυρεῖ Ἀριστοτέλης. Ἄλλοι δέ φασιν ὅτι κίστις ἐστίν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι. Hesychius s. v. Ἀχάνας: Τινὲς μὲν Περσικὰ μέτρα, Φανόδημος δὲ κίστας, εἰς ἃς κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ θεωρικὰ ἰόντες, οἱ εἰς θεοὺς στελλόμενοι, et iterum s. v. Ἀχάνη:

---

sepelirent. Tradit hoc etiam Aristoteles in Orchomeniorum Republica.

Aristoteles in Republica Orchomeniorum dicit Hesiodum bis sepultum, atque hocce nactum esse epigramma: « Salve etc. »

Milesius quidam, cum quo hospitii ac convictus usus Hesiodo intercedebat apud Locros, hospitis filiæ pudicitiam imminuerat: re comperta creditum est Hesiodum ab initio conscium flagitii fuisse, in eoque occultando operam navasse: quum quidem hic insons, nulla sua culpa in iram hominum per calumniam et sinistras incidisset suspiciones. Nihilominus eum puellæ fratres apud Locrense Nemeium, ex insidiis trucidaverunt: unaque asseclam ipsius Troilum. Ceterum cadaveribus in mare devolutis, Troili cadaver foras in Daphnum fluvium delatum, apud scopulum aquis ambitum et non multum ex mari exstantem detentum fuit: qui scopulus etiamnum Troilus dicitur. Hesiodi autem cadaver, ubi primum a terra excidit, excipiens delphinorum grex ad Rhium et Molycriam deportavit. Forte tum Locri solemnem conventum agebant apud Rhium, ac sacris operabantur publicis, quæ etiamnum splendide isto in loco peraguntur. Quum vero cadaver videretur afferri, mirati, ut par erat, ad littus accurrerunt: quumque cadaver recens interfecti Hesiodi agnoscerent, gloria hominis permoti nihil antiquius habuerunt quam cædis auctorem quærere: ac cito iis successit res, inventosque percussores vivos in mare præcipitaverunt, et eorum domum diruerunt. Ipse Hesiodus apud Nemeium sepultus est: et sepulcrum ejus plerique peregrini ignorant: occultatur enim propter Orchomenios, qui id quærunt, et reliquias Hesiodi, monitu oraculi cujusdam, auferre et apud se humare cupiunt.

190.

Achane in Aristotelis Orchomeniorum Republica mensura est, quæ continet quadraginta quinque modios Atticos.

Μέτρον σίτου ἐν Βοιωτίᾳ χωροῦν μέδιμνον ἕν (corr. μεδίμνους με'). Synag. lex. Seg. p. 473, 32 Bekk. : Ἀχάνη : Μέτρον Βοιώτιον πολλῶν τινῶν μεδίμνων. Οὕτως Ἀριστοφάνης, ubi aperte Ἀριστοτέλης reponendum est, cum Bournotio l. l. p. 285.

ΠΑΡΙΩΝ.

Vide Sopatri excerpta apud Photium, supra fragm. 105 [b].

ΠΕΛΛΗΝΙΩΝ.

191 (563).

Harpocration s. v. Μαστῆρες: Ὑπερίδης ἐν τῷ πρὸς Πάγκαλον. Ἔοικεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζητηταὶ καὶ οἱ ἐν Πελλήνῃ μάστροι, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνίων Πολιτείᾳ.

Eadem Photius et Suidas omisso Aristotelis nomine. Apud Harpocrationem fortasse sic scribendum : ὧν Ἀρ. ἐν τῇ Π. Π. μέμνηται. Cf. altera glossa apud Photium p. 248, 21 : Μαστῆρες οἱ τὰ φυγαδευτικὰ χρήματα εἰσπράττοντες· οἱονεὶ ζητηταὶ τῶν φυγαδευτικῶν χρημάτων, τῶν ἀειφυγίαν φυγαδευθέντων· ἐκλήθησαν δὲ μαστῆρες ἀπὸ τῶν κυνηγῶν τῶν ἐν τοῖς μαστοῖς τῶν ὀρῶν ζητούντων τὰ θηρία. Lex. Rhet. Seguer. p. 279, 6 : Μαστῆρες: Ζητηταὶ τῶν φυγαδικῶν χρημάτων. Hesychius s. v. Μαστήρ : ἐρευνητής, s. Μαστῆρες : Ζητοῦντες, ἐρευνῶντες, s. Μαστροί. Παρὰ Ῥοδίοις βουλευτῆρες. Schol. Apoll. Rhodii IV, 1003.

Πελληναίων Πολιτείαν a Dicæarcho conscriptam memorat Cicero Epist. ad Attic. II, 2.

ΡΗΓΙΝΩΝ.

192 (564).

Pollux V, 75 : Ἰθάκη δὲ μόνη τῶν νήσων ἄγονός ἐστι λαγώ. Καρπάθιοι δὲ πρότερον οὐκ ὄντων ἐν τῇ νήσῳ λαγῶν ζεῦγος εἰσαγαγόμενοι, τὸ μὲν εἰς πλῆθος ἐκ τῆς πολυγονίας ἐπιδιδοῦν ἔφθειρε τοὺς καρπούς, οἱ δὲ παροιμίαν ἐποίησαν ἐπὶ τῶν ἐπισπαστὸν κακὸν ἐφ' ἑαυτοὺς ἐπαγαγόντων· « Ὁ Καρπάθιος τὸν λαγών.» Καὶ μὴν Ἀναξίλας ὁ Ῥηγῖνος οὔσης, ὡς Ἀριστοτέλης φησίν, τῆς Σικελίας τέως ἀγόνου λαγῶν, ὁ δὲ εἰσαγαγών τε καὶ θρέψας, ὁμοῦ δὲ καὶ Ὀλύμπια νικήσας ἀπήνῃ, τῷ νομίσματι τῶν Ῥηγίνων ἐνετύπωσεν ἀπήνην καὶ λαγών.

Priora fortasse ex Ithacensium Republica ducta sunt, ad explicationem proverbii ὁ Καρπάθιος τὸν λαγών, de quo cf. Zenob. Prov. IV, 48. Neque obstant quæ apud Aristotelem in Hist. Anim. VIII, 28, 13, inde a Plinio Hist. nat. VIII, 226 et Eustathio in Odyss. p. 1821, 30 exscripta, leguntur, lepores nempe nullos in insula Ithaca inveniri, eosque qui in eam translati essent ad littus maris mortuos inventos esse. Anaxilæ mentio fit etiam in Excerptis Heraclidis p. 21, 15 : Ἐτυράννησε δὲ αὐτῶν (τῶν Ῥηγίνων scil.) Ἀναξίλας Μεσσήνιος· καὶ νικήσας Ὀλύμπια ἡμιόνοις, εἱστίασε τοὺς Ἕλληνας, καί τις αὐτὸν ἐπέσκωψεν εἰπών· Οὗτος τί ἂν ἐποίει νικήσας ἵπποις; Ἐποίησε δὲ καὶ ἐπινίκιον Σιμωνίδης.

Χαίρετ' ἀελλοπόδων θύγατρες ἵππων.

... ἐγίνοντο. Quæ supplenda esse perspexit Schneidewinus e tertio libro Rhetoricorum Aristotelis c. 2 § 5 ubi eadem narrantur.

ΡΟΔΙΩΝ.

193 (565).

Schol. Pindar. Olymp. VII ad inscriptionem : Διαγόρᾳ Ῥοδίῳ πύκτῃ : νικήσαντι τὴν οθ' Ὀλυμπιάδα. Ταύτην τὴν ᾠδὴν ἀνακεῖσθαί φησι Γόργων ἐν τῷ τῆς Λινδίας Ἀθηνᾶς ἱερῷ χρυσοῖς γράμμασιν. Ὁ Διαγόρας οὗτος υἱὸς μὲν ἦν Δαμαγήτου τοῦ Ῥοδίου, ἐνίκησε δὲ καὶ Πύθια καὶ Ἴσθμια. Περὶ δὲ τούτου τοῦ Διαγόρου εἶπε μὲν καὶ Ἀριστοτέλης καὶ Ἀπολλᾶς, μαρτυροῦσι δὲ τοιαῦτα. Κατὰ γὰρ τὴν Ὀλυμπίαν

PELLENENSIUM.

191.

Μαστῆρες, inquisitores, magistratus quidam constitutus ad pecunias publicas colligendas velut ζητηταί et apud Pellenenses μάστροι, ut tradit Aristoteles in Republica Pellenensium.

RHEGINORUM.

192.

Quum Sicilia, Aristotele teste, ante Anaxilam lepores non produxisset, hic invehens nutriensque, simul rheda in Olympia vincens, Rheginorum monetæ rhedam insculpsit et leporem.

RHODIORUM.

193.

Diagoræ Rhodio pugili; qui vicit Olymp. LXXIX. Hanc odam Gorgon dicit litteris aureis scriptam in templo Minervæ Lindiæ expositam esse. Hic Diagoras filius erat Damageti Rhodii Pythiis quoque et Isthmiis vicerat. Dixit de eo Aristoteles et Apollas. Tradunt vero hæc : In Olympia posita Diagoræ statua post statuam Lysandri; cubitorum est quattuor et digitorum quinque, dextram manum extendit, lævam corpori acclinat. Post hunc stat Demagetus, filiorum natu maximus, avo cognominis, in pancratium projectus, ipse quoque cubitorum quattuor, sed patre minor digitis quinque. Prope hunc stat Dorieus

ἕστηκεν ὁ Διαγόρας μετὰ τὴν Λυσάνδρου εἰκόνα, πηχῶν τεσσάρων δακτύλων πέντε, τὴν δεξιὰν ἀνατείνων χεῖρα, τὴν δὲ ἀριστερὰν εἰς ἑαυτὸν ἐπικλίνων. Μετὰ δὲ τοῦτον ἵσταται καὶ ὁ Δαμάγητος ὁ πρεσβύτατος τῶν παίδων αὐτοῦ, ὃς ἦν καὶ ὁμώνυμος τῷ πάππῳ, παγκράτιον προβεβλημένος, καὶ αὐτὸς πηχῶν τεσσάρων, ἐλάττων δὲ τοῦ πατρὸς δακτύλων πέντε. Ἐχόμενος δὲ τούτου ἕστηκε Δωριεὺς ἀδελφός, πύκτης καὶ αὐτὸς προβεβλημένος. Τρίτος δὲ μετ' ἐκεῖνον Ἀκουσίλαος, τῇ μὲν ἀριστερᾷ ἱμάντα ἔχων πυκτικόν, τὴν δὲ δεξιὰν ὥσπερ πρὸς εὐχὴν ἀνατείνων. Καὶ οὗτοι μὲν οἱ τοῦ νικηφόρου παῖδες ἐν στήλαις ἵστανται σὺν τῷ πατρί, μετ' ἐκείνους δὲ καὶ θυγατέρων αὐτοῦ νικηφόροι υἱοὶ δύο, Εὐκλῆς πυγμῇ νικήσας Ἄνδρωνα (ἀνδρῶν corr. Rosius, coll. Pausan. VI, 6, 2 et 7, 3 πύξ τε ἤσκησαν καὶ ἔσχον Ὀλυμπιακὰς νίκας ἐν μὲν ἀνδράσιν Εὐκλῆς... Πεισίροδος δὲ ἐν παισίν) καὶ μετ' ἐκεῖνον Πεισίρροθος. Καὶ λέγεται κατὰ τὰ Ὀλύμπια νικήσαντας τοὺς παῖδας κατὰ τὴν αὐτὴν ἡμέραν τῷ πατρί, περιλαβόντας οὖν τὸν Διαγόραν περιμέναι τὸ στάδιον μακαριζομένους ὑπὸ τῶν Ἑλλήνων. Χρόνῳ δὲ ὕστερόν φασι καὶ τὴν τούτου θυγατέρα Καλλιπάτειραν ἐλθεῖν εἰς τὴν Ὀλυμπίαν καὶ αἰτεῖν παρὰ τῶν Ἑλλανοδικῶν ἐπιτρέψαι τὴν θέαν αὐτῇ, τοὺς δὲ κωλύειν φάσκοντας κατὰ νόμον γυναῖκα μὴ θεωρεῖν τὸν γυμνικὸν ἀγῶνα· τὴν δὲ φῆσαι πρὸς αὐτοὺς οὐχ ὁμοίαν εἶναι ταῖς ἄλλαις γυναιξίν, ἀλλὰ φέρειν πλέον τι ταῖς προγονικαῖς ἀρεταῖς ἐπερειδομένην· ἔσχε γὰρ καὶ τὸν πατέρα καὶ τοὺς τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας, Δαμάγητον, Δωριέα, Ἀκουσίλαον, καὶ ἐξ ἀδελφῆς παῖδα Εὐκλέα καὶ αὐτῆς υἱὸν Πεισίρροθον. Καὶ δεῖξαι τάς τε τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν στήλας καὶ οὕτω νικηθέντας τοὺς Ἑλλανοδίκας ἐπιχωρῆσαι καὶ συνήθειαν νόμου διαλῦσαι καὶ τῇ Καλλιπατείρᾳ τὴν θέαν ἐπιτρέψαι. Καὶ τὰ μὲν περὶ αὐτῶν τοσαῦτα. Ἱστόρηται δὲ ὁ Διαγόρας Ἑρμοῦ παῖς γεγενῆσθαι· φασὶ γὰρ αὐτοῦ τὴν μητέρα εἰς ἀγρόν που πορευομένην, εἶτα καύματος σφοδροῦ ἐπισχόντος ἐπικλιθῆναί τινι Ἑρμαίῳ τεμένει καὶ οὕτω τὸν θεὸν αὐτῇ συνελθεῖν, τὸν δὲ Διαγόραν οὕτω τεκεῖν αὐτήν, ὃς πρῶτος ἀφ' Ἡρακλέους λέγεται τοιοῦτος γενέσθαι. Ἀφ' οὗ γὰρ Ἡρακλῆς συνέθηκε τὸν ἀγῶνα μηδενί πω τοιαῦτα συμβῆναι, ὥστε καὶ τὸν πατέρα καὶ τοὺς υἱοὺς Ὀλυμπιονίκας γενέσθαι.

ΣΑΜΙΩΝ.

194 (566).

Plinius Hist. nat. V, s. 37, 135 : *Samon... Partheniam primum appellatam* Aristoteles *tradit*, *postea Dryussam, deinde Anthemussam. Aristocritus adjicit Melamphyllum, dein Cyparissiam, alii Parthenoarussam, Stephanen*. Cf. de Aristocrito C. Müller, Fragm. Hist. gr. t. IV, p. 334, qui laudat ad h. l. Panofka, *Res Samior*. Berol. 1822, p. 8 sqq.

Stephan. Byz. s. v. Σάμος : Ἐπιφανὴς πρὸς τῇ Καρίᾳ νῆσος. Ἐκλήθη δὲ πρότερον Παρθενία καὶ Δρυοῦσσα καὶ Ἀνθεμοῦσσα καὶ Μελάμφυλλος. Cf. Strabo XIV, p. 637 : Ἐκαλεῖτο δὲ Παρθενία πρότερον οἰκούντων Καρῶν, εἶτα Ἀνθεμοῦς, εἶτα Μελάμφυλλος, εἶτα Σάμος εἴτ' ἀπό τινος ἐπιχωρίου ἥρωος εἴτ' ἐξ Ἰθάκης καὶ Κεφαλληνίας ἀποικίσαντος, Schol. Apollonii Rhod. II, 867, Hesych. s. v. Δρυοῦσσα et Δόρυσσα, Heraclid. Excerpt. p. 15, 1 : Ἡ δὲ νῆσος Παρθενία, ὕστερον δὲ Δρυοῦσσα.

Ex Aristotele fortasse ducta esse putat Rosius quæ leguntur apud Iamblichum, Vita Pythagor. c. 2 : Λέγεται δὴ οὖν Ἀγκαῖον τὸν κατοικήσαντα τὴν Σάμον τὴν ἐν τῇ Κεφαλληνίᾳ γεγενῆσθαι μὲν ἀπὸ Διὸς (male pro Ποσειδῶνος, cf. Schol. Apoll. Rhod. I, 185, II, 866. Pausan. VII, 4 et quod sequitur fragm.)... φρονήσει δὲ καὶ δόξῃ τῶν ἄλλων Κεφαλληνίων διαφέρειν. Τούτῳ δὲ γενέσθαι χρησμὸν παρὰ τῆς Πυθίας συναγαγεῖν ἀποικίαν ἀπὸ τῆς Κεφαλληνίας καὶ... οἰκίσαι νῆσον τὴν δι' ἀρετὴν τοῦ ἐδάφους καὶ τῆς γῆς Μελάμφυλλον καλουμένην, προσαγορεῦσαί τε τὴν πόλιν Σάμον ἀντὶ τῆς Σάμης τῆς ἐν Κεφαλληνίᾳ. Τὸν μὲν οὖν χρησμὸν συνέβη γενέσθαι τοιοῦτον·

Ἀγκαῖ' ἐνναλίαν νῆσον Σάμον ἀντὶ Σάμης σε
οἰκίζειν κέλομαι· Φυλλὰς δ' ὀνομάζεται αὕτη,

---

frater, pugil, et ipse projectus. Tertius post hunc Acusilaus, læva tenens lorum pugilis, dextram ut ad precationem extendens. Atque hi quidem victoris filii in stelis stant cum patre. Post illos vero etiam filiarum filii victores duo, Eucles qui viros pugilatu vicit et Pisirrhothus. Porro narratur filios, quum Olympiis eodem quo pater die vicissent, cingentes patrem stadium perambulasse ac beatos a Græcis esse prædicatos. Aliquo post tempore etiam filiam ejus Callipatiram Olympiam venisse ac petiisse ex Hellanodicis dicunt, ut spectare ludos ipsi permitterent. Quod quum recusarent dicentes lege vetitum esse, ne mulieres gymnicos ludos spectarent, tum vero illam dixisse, non se similem reliquis esse mulieribus, sed majus quid, gentis suæ virtutibus innixam. Habebat enim et patrem et fratres tres, Damagetum, Dorieum, Acusilaum Olympionicas, et sororis item filium Eucleem, et suum ipsum Pisirrhothum. Ac monstrasse eam patris fratrumque stelas, atque ita victos Hellanodicas cessisse, ac soluta legis consuetudine permisisse Callipatiræ, ut spectatrix ludis interesset.

ubi pro Φυλλάς, Φωλλὶς scribendum esse videtur.

195 (567).

Schol. cod. Laur. Apollonii Rhod. I, 188, p. 315, 16 Keil : Παρθενίης Ἀγκαῖος : Ἀριστοτέλης φησί, τιθεὶς ἐπὶ Ἀγκαῖον τὴν παροιμίαν, ὅτι γέγονε φιλογέωργος Ἀγκαῖος καὶ πολλὰς ἐφύτευσεν ἀμπέλους. Εἰπόντος δὲ αὐτῷ τοῦ θεράποντος ὅτι θᾶττον ἀποθανεῖται ἢ πίεται ἐκ τοῦ καρποῦ τῆς ἀμπέλου, Ἀγκαῖος ὡρίμου γενομένου τοῦ καρποῦ τρίψας βότρυν ἐκάλεσε τὸν θεράποντα καὶ εἶπεν ὡς ἔζησεν μέχρις οὗ καρποφορήσῃ ἡ ἄμπελος, καὶ ἔμελλε πίνειν. Τοῦ δὲ θεράποντος εἰπόντος·

Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου,

διηγγέλη αὐτῷ τις σῦς διαλυμαινόμενος τὴν χώραν, ἐφ' ὃν ἐκδραμὼν πρὶν πίῃ ἀνῃρέθη ὑπ' αὐτοῦ. Διὸ ἐπεκράτησεν ἡ παροιμία ἐπὶ τῶν παρὰ προσδοκίαν τι πραττόντων. Καὶ Φερεκύδης ἐν τῇ η' φησὶ τὸν Ἀγκαῖον ὑπὸ τοῦ Καλυδωνίου συὸς πληγέντα τὸν μηρὸν ἀποθανεῖν.

Isac. Tzetzes ad Lycophron. v. 488 : Ὁ γὰρ Ἀγκαῖος οὗτος, υἱὸς ὢν Ποσειδῶνος καὶ Ἀστυπαλαίας, τῆς Φοίνικος, ἐφύτευσεν ἄμπελον, κατὰ Ἀριστοτέλη τὸν τοὺς Πέπλους συντάξαντα. Μάντις δέ τις εἶπεν αὐτῷ ὡς οὐ πίοι οἶνον ἐκ ταύτης. Ἐνηνοχυίας δὲ τῆς ἀμπέλου καρπόν, ἀπέθλιψεν ὁ Ἀγκαῖος τὴν σταφυλὴν εἰς ἀγγεῖον, ἤγουν κύλικα, ὡς πιόμενος, καὶ κατεγέλα τοῦ μάντεως, δεικνύων τὴν κύλικα. Ὁ δ' ἔφη· Πολλὰ κτέ. Βοῆς δὲ γενομένης ὡς συὸς λυμαινομένου τὴν χώραν, θεὶς τὴν κύλικα ὁ Ἀγκαῖος ἐξῆλθεν ἐπὶ τὸν σῦν, καὶ πρῶτος ἀνῃρέθη ὑπ' αὐτοῦ.

Zenob. Prov. V, 71 : Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου : Παροιμία λεχθεῖσα ἐξ αἰτίας τοιαύτης. Ἀγκαῖος παῖς Ποσειδῶνος φυτεύων ἀμπελῶνα βαρέως ἐπέκειτο τοῖς οἰκέταις. Εἷς δὲ τῶν οἰκετῶν ἔφη μὴ μεταλήψεσθαι τὸν δεσπότην τοῦ καρποῦ. Ὁ δὲ Ἀγκαῖος ἐπειδὴ ὁ καρπὸς ἐφθάκει, χαίρων ἐτρύφα καὶ τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ. Μέλλων δὲ τὴν κύλικα προσφέρειν τῷ στόματι ὑπεμίμνησκεν αὐτὸν τοῦ λόγου, ὁ δὲ ἔφη τὸν εἰρημένον στίχον. Τούτων ἔτι λεγομένων οἰκέτης ἦλθεν ἀπαγγέλλων ὡς ὑπερμεγέθης σῦς τὸν ὄρχατον λυμαίνεται. Ὁ δὲ Ἀγκαῖος ἀποβαλὼν τὴν πόσιν ἐπὶ τὸν σῦν ὥρμησε καὶ πληγεὶς ὑπ' αὐτοῦ ἐτελεύτησεν· ὅθεν ἡ παροιμία. Διονύσιος δέ φησιν εἰρῆσθαι αὐτὴν ἀπὸ τῆς Ἀντινόου μνηστευσαμένου τὴν Πηνελόπην συμφορᾶς (Odyss. χ, 9). Προσαγόμενος γὰρ τὸ ἔκπωμα ἐτελεύτησε παρὰ τοῦ Ὀδυσσέως. Cf. Proverb. Collect. II apud Millerum, *Mélanges de littérat. gr.*, p. 368 : Ἀριστοτέλης δέ φησιν Ἀγκαῖόν τινα Σαμίων βασιλέα μέλλοντα πίνειν ἀκοῦσαι κραυγὴν περὶ θήραν γενομένην καὶ ἐξελθόντα συμπλακῆναι τῷ συῒ καὶ ἀποθανεῖν· ὅθεν εἰρῆσθαι τὴν παροιμίαν· Πολλὰ κτέ.

Cum Zenobio faciunt Eudocia Viol. p. 24, Schol. vulg. Apoll. Rh. l. l., Diogenian. Prov. VII, 46, e quo sua transtulit Apostol. XIV, 46. Alteram proverbii explicationem ex eodem Dionysio Thrace proponit Schol. Odyss. χ, 9, p. 706, 14 Dind., deinde vero ita pergit : Λέγει δὲ Ἀριστοτέλης περὶ τῆς παροιμίας οὕτως. Ἀγκαῖος ὁ Ποσειδῶνος καὶ Ἀστυπαλαίας Σάμιος ὢν τὸ γένος, ἔχων οἰκέτην ἀπὸ Κρήτης ἐκέλευσεν αὐτὸν προσφέρειν ποτὸν πίνειν, ὅθεν ἐντεῦθεν αἱ ἄμπελοι τυγχάνουσιν. Εἰπόντος δὲ αὐτοῦ ὡς οὐ δυνήσεται πιεῖν, αὐτὸς ὁ Ἀγκαῖος κατακερτομήσας τοὺς θεράποντας ἔλαβε τὴν κύλικα καὶ προσέθετο. Λέξαντος δὲ ἐκείνου· Πολλὰ κτέ. ἄφνω συνέβη χρῆμα μεγάλου συὸς ἐπιβαρῆσαι τοῖς Ἀγκαίου χωρίοις· ἀκούσαντα δὲ αὐτὸν ἀπὸ τῶν χειλέων τὴν κύλικα καταθεῖναι καὶ διαδραμεῖν πρὸς τὸν ἄγριον, συμβαλόντα δὲ τῷ κάπρῳ τελευτῆσαι. Ἔνθεν φασὶ (φησὶ vulg. et Marc.) καταρρυῆναι τὴν παροιμίαν, in quibus lectionem codicis Vindobonensis (Græc. phil. 133) a Rosio collati secuti sumus. Ceterum rem hîc male narratam esse testantur quæ leguntur in Heracl. Excerpt. X, 2 : Ἐβασίλευσε δ' αὐτῶν (τῶν Σαμίων sc.) Ἀγκαῖος, ἀφ' οὗ τὰς ἀμπέλους ὁ θεράπων φυτεύων φησί· Πολλὰ κτέ.

In ipso proverbio, pro κύλικος, κοτύλης præbet Athenæus XI, p. 478, E.

196 (568).

Ælian. de Nat. Anim. XVII, 20 : Ἀριστοτέλης λέγει γίγνεσθαι ἐν Σάμῳ λευκὴν χελιδόνα.

SAMIORUM.

195.

Aristoteles ad Ancæum proverbium referens dicit hunc agriculturæ studiosum fuisse et multas vites plantasse. Cui quum servus dixisset moriturum priusquam de fructu vitis bibisset, Ancæus, fructibus maturatis, uvam expressit, vocatoque servo dixit se vixisse ad id usque tempus quo vitis fructus tulerit, simulque bibere volebat. Dum autem servus : *Multum*, aiebat, *inter poculum est labraque summa*, nuntiatum est ei aprum vastare regionem. In quem incurrens, priusquam bibisset occisus est ab eo. Inde proverbium de iis, quibus præter exspectationem aliquid accidit usurpatur. Pherecydes quoque in libro octavo narrat Ancæum periisse crure icto ab apro Calydonio.

196.

Aristoteles narrat in insula Samo albas hirundines nasci.

Ex Samiorum Republica desumpta hæc esse ostendunt Heracl. Excerpta, p. 15, 5 : Ὅτι ἐν τοῖς Σαμίοις ἐφάνη λευκὴ χελιδὼν οὐκ ἐλάττων πέρδικος. Cf. Duris apud Antigon. Mirab. c. 132 : Ὁ δὲ τοὺς Σαμιακοὺς ὥρους συγγεγραφὼς ἐπὶ τῶν πρώτων κληθέντων μαθητῶν τῶν περὶ Ἡρόστρατόν φησι χελιδόνα λευκὴν φανῆναι. Apud Ælianum lectio vulgata γίγνεσθαι ideo non in γενέσθαι mutanda videtur, quod scriptor, quum in sequentibus alia ex Aristotelis Hist. Anim. VI, 5 desumpta addiderit, credere potuit non de re semel tantum observata agi. Cf. ceterum Arist. Hist. Anim. III, 12, 12. Theophrasti fragm. περὶ Σημείων, c. 3, 2. Ælian. de Nat. An. VII, 7.

197 (569).

Ælianus de Nat. Anim. XII, 40 : Τιμῶσι δὲ ἄρα Δελφοὶ μὲν λύκον, Σάμιοι δὲ πρόβατον, Ἀμπρακιῶται δὲ μὴν τὸ ζῷον τὴν λέαιναν. Τὰ δὲ αἴτια τῆς ἑκάστου τιμῆς εἰπεῖν οὐκ ἔστιν ἔξω τῆσδε τῆς σπουδῆς. Δελφοῖς μὲν χρυσίον ἱερὸν σεσυλημένον καὶ ἐν τῷ Παρνασσῷ κατορωρυγμένον ἀνίχνευσεν ὁ λύκος. Σαμίοις δὲ καὶ αὐτοῖς τοιοῦτο χρυσίον κλαπὲν πρόβατον ἀνεῦρε, καὶ ἐντεῦθεν Μανδρόβουλος ὁ Σάμιος τῇ Ἥρᾳ πρόβατον ἀνάθημα ἀνῆψεν. Καὶ τὸ μὲν Πολέμων λέγει τὸ πρότερον, τὸ δὲ Ἀριστοτέλης τὸ δεύτερον.

Cf. Ephorus apud Proverbiorum scriptores et apud Suidam, fr. 161 Müll., Clemens Alexandr. Protrept. p. 11 : Πρόβατον, ὥς φησιν Εὐφορίων, σέβουσι Σάμιοι, ubi Ἔφορος corrigendum esse videtur.

198 (570).

Schol. Aristoph. Aves 471 : Οὐδ' Αἴσωπον πεπάτηκας : Ὅτι τὸν λογοποιὸν Αἴσωπον διὰ σπουδῆς εἶχον. Ἦν δὲ ὁ Αἴσωπος Θρᾷξ, ἠλευθερώθη δὲ ὑπὸ Ἴδμονος τοῦ κωφοῦ. Ἐγένετο δὲ πρῶτον Ξάνθου δοῦλος. Ὁ δὲ κωμικὸς Πλάτων καὶ ἀναβιῶναί φησιν αὐτὸν ἐν τοῖς Λάκωσιν... Διὰ σπουδῆς δὲ εἶχον τὸν Αἴσωπον. Καὶ Ἀριστοτέλης ἐν τῇ Σαμίων Πολιτείᾳ εἰπόντα φησὶν αὐτὸν μῦθον ηὐδοκιμηκέναι.

Eadem iisdem fere verbis in Heracl. Excerpt. p. 15, 10 : Αἴσωπος δὲ ὁ λογοποιὸς εὐδοκίμει τότε. Ἦν δὲ Θρᾷξ τὸ γένος, ἠλευθερώθη δὲ ὑπὸ Ἴδμονος τοῦ κωφοῦ. Ἐγένετο δὲ πρῶτον τοῦ Ξάνθου δοῦλος. Cf. præterea Aristot. Rhet. II, c. 2, § 5 ubi Æsopi fabula quam Samiis narraverat refertur.

199 (571).

Zenob. Prov. VI, 12 : Τὸ περὶ Δρῦν σκότος : Ἀριστοτέλης φησὶν ἐν τῇ Σαμίων Πολιτείᾳ Πριηνέων πολλοὺς ὑπὸ Μιλησίων ἀναιρεθῆναι περὶ τὴν καλουμένην Δρῦν· ὅθεν καὶ τὰς Πριηνείας γυναῖκας ὀμνύναι τὸ περὶ Δρῦν σκότος.

Plenius ex eodem procul dubio fonte hausit Plutarchus Quæst. Gr. c. 20 : Τίς ὁ λεγόμενος ἐν Πριήνῃ παρὰ Δρυῒ σκότος; Σάμιοι καὶ Πριηνεῖς πολεμοῦντες ἀλλήλοις τὰ μὲν ἄλλα μετρίως ἐβλάπτοντο καὶ ἔβλαπτον, μάχης δὲ μεγάλης γενομένης χιλίους Σαμίων οἱ Πριηνεῖς ἀπέκτειναν· ἑβδόμῳ δὲ ὕστερον ἔτει Μιλησίοις συμβαλόντες παρὰ τὴν καλουμένην Δρῦν, τοὺς ἀρίστους ὁμοῦ τε καὶ πρώτους ἀπέβαλον τῶν πολιτῶν· ὅτε καὶ Βίας ὁ σοφὸς εἰς Σάμον ἐκ Πριήνης πρεσβεύσας εὐδοκίμησε. Ταῖς δὲ Πριηνέων γυναιξίν, ὁμοῦ τοῦ πάθους τούτου καὶ τῆς συμφορᾶς ἐλεεινῆς γενομένης, ἀρὰ κατέστη καὶ ὅρκος περὶ τῶν μεγίστων· « Ὁ παρὰ τῇ Δρυῒ σκότος » διὰ τὸ παῖδας αὐτῶν καὶ πατέρας καὶ ἄνδρας ἐκεῖ φονευθῆναι. Cf. Bœckh. Corp. Inscriptt. t. II, p. 573, n. 2905.

197.

Lupum Delphi colunt, Samii avem venerantur. Ambraciotæ leænam. Causas autem quamobrem hujus modi bestias divini cultus honore prosequantur, non alienum est explicare. Delphis aurum sacrum furto direptum et in Parnasso defossum sicut dicit Polemo, investigavit lupus, Samiis item aurum furto sublatum ovis invenit : quare Mandrobulus Samius Junoni ovem consecravit, ut Aristoteles tradit.

198.

Erat Æsopus Thrax genere, libertate donatus est ab Idmone homine bardo. Primum fuerat servus Xanthi. Aristoteles in Samiorum Republica Æsopum fabulas narrantem inclaruisse dicit.

199.

Aristoteles in Republica Samiorum dicit magnum Prienensium numerum ab Milesiis occisum esse prope locum quem Quercum vocant atque hinc Prienenses mulieres per tenebras apud Quercum jurare.

Quid sibi volunt tenebræ apud Quercum, quæ Prienæ memorantur? Samii et Prienenses, bello commisso, mediocribus invicem damnis se affecerunt : magno autem prælio commisso Prienenses mille Samios trucidaverunt; septimo vero anno post cum Milesiis pugna congressi ad locum qui Quercus dicitur, optimos primosque civium amiserunt : quo tempore Bias Priene in Samum missus legatus claruit. Quum autem Prienenses mulieres calamitas hæc graviter perculisset, exsecratio et jusjurandum maximis de rebus constitutum est *per tenebras apud Quercum* : quod ibi liberi, parentes virique earum mortem oppetiissent.

200 (572).

Plutarch. Vit. Pericl. c. 26 : Ἅμα δὲ τῇ νίκῃ καὶ τῇ διώξει τοῦ λιμένος κρατήσας (ὁ Περικλῆς scil.) ἐπολιόρκει τοὺς Σαμίους... Ἐπεὶ δὲ μείζων ἕτερος στόλος ἦλθεν ἐκ τῶν Ἀθηνῶν καὶ παντελῶς κατεκλείσθησαν οἱ Σάμιοι, λαβὼν ὁ Περικλῆς ἑξήκοντα τριήρεις ἐπλευσεν εἰς τὸν ἔξω πόντον, ὡς μὲν οἱ πλεῖστοι λέγουσι, Φοινισσῶν νεῶν ἐπικούρων τοῖς Σαμίοις προσφερομένων ἀπαντῆσαι καὶ διαγωνίσασθαι πορρωτάτω βουλόμενος, ὡς δὲ Στησίμβροτος ἐπὶ Κύπρον στελλόμενος· ὅπερ οὐ δοκεῖ πιθανὸν εἶναι. Ὁποτέρῳ δ' οὖν ἐχρήσατο τῶν λογισμῶν ἁμαρτεῖν ἔδοξε. Πλεύσαντος γὰρ αὐτοῦ Μέλισσος ὁ Ἰθαγένους, ἀνὴρ φιλόσοφος, στρατηγῶν τότε τῆς Σάμου, καταφρονήσας τῆς ὀλιγότητος τῶν νεῶν ἢ τῆς ἀπειρίας τῶν στρατηγῶν ἔπεισε τοὺς πολίτας ἐπιθέσθαι τοῖς Ἀθηναίοις. Καὶ γενομένης μάχης νικήσαντες οἱ Σάμιοι καὶ πολλοὺς μὲν αὐτῶν ἄνδρας ἑλόντες πολλὰς δὲ ναῦς διαφθείραντες ἐχρῶντο τῇ θαλάσσῃ καὶ παρετίθεντο τῶν ἀναγκαίων πρὸς τὸν πόλεμον ὅσα μὴ πρότερον εἶχον. Ὑπὸ δὲ τοῦ Μελίσσου καὶ Περικλέα φησὶν αὐτὸν Ἀριστοτέλης ἡττηθῆναι ναυμαχοῦντα πρότερον. Οἱ δὲ Σάμιοι τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ἀνθυβρίζοντες ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας· καὶ γὰρ ἐκείνους οἱ Ἀθηναῖοι σάμαιναν. Ἡ δὲ σάμαινα ναῦς ἐστιν ὑόπρωρος μὲν τὸ σίμωμα, κοιλοτέρα δὲ καὶ γαστροειδής, ὥστε καὶ φορτοφορεῖν καὶ ταχυναυτεῖν. Οὕτω δ' ὠνομάσθη διὰ τὸ πρῶτον ἐν Σάμῳ φανῆναι, Πολυκράτους τυράννου κατασκευάσαντος. Πρὸς ταῦτα τὰ στίγματα λέγουσι καὶ τὸ Ἀριστοφάνειον ᾐνίχθαι·

Σαμίων ὁ δῆμός ἐστιν ὡς πολυγράμματος.

Aliam hujus proverbii, cujus Aristophanes in Babyloniis meminerat, Aristoteles dederat explicationem de qua vide sequens fragmentum. Ceterum Aristotelem de toto hoc bello inter Samios et Athenienses uberius egisse, Plutarchi verba testantur c. 28 : Δοῦρις δ' ὁ Σάμιος τούτοις ἐπιτραγῳδεῖ πολλὴν ὠμότητα τῶν Ἀθηναίων καὶ τοῦ Περικλέους κατηγορῶν, ἣν οὔτε Θουκυδίδης ἱστόρηκεν οὔτ' Ἔφορος οὔτ' Ἀριστοτέλης.

201 (573).

Photius s. v. Σαμίων ὁ δῆμος ὡς πολυγράμματος : Ἀριστοφάνης Βαβυλωνίοις, ἐπισκώπτων τοὺς ἐστιγμένους. Οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων, σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων Πολιτείᾳ· ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρώτοις τὰ κδ' γράμματα ὑπὸ Καλλιστράτου, ὡς Ἄνδρων ἐν Τρίποδι... Θεόπομπος. Οἱ δὲ ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ ἔστιζον γλαυκί, Σάμιοι δὲ σαμαίνῃ· ἡ δὲ σαμαίνη πλοῖον δίκροτον ὑπὸ Πολυκράτους πρῶτον κατασκευασθὲν τοῦ Σαμίων τυράννου, ὡς Λυσίμαχος ἐν β' Νόστων. Τὸ δὲ πλάσμα Δούριδος.

Eadem Suidas s. v. et Apostolius Prov. XV, 32. Cf. Hesychius s. v.

ΣΑΜΟΘΡΑΚΩΝ.

202 (574).

Schol. Apollonii Rhod. I, 917 : Ἀρρήκτους ἀγα-

200.

Pericles victor hostes insecutus, simul et portum occupavit et Samios obsedit... Sed postquam alia classis major Athenis venit, undique jam septis Samiis, cum triremibus sexaginta mare exterius petiit, ut Phœnicum navibus, sic enim major pars auctorum putant, auxilio Samiis venientibus occurreret, ac quam longissime ab insula pugnaret. Stesimbrotus eum in Cyprum navigare voluisse ait, quod non videtur verisimile : utracunque ejus fuerit ratio, constat in eo peccasse ipsum. Avecto enim Pericle Melissus Ithagenis filius, philosophus, tunc Samiorum prætor, sive ob navium paucitatem, sive ob ducum imperitiam contemptis hostibus, suis persuasit, ut Athenienses adorirentur : factoque prælio, Samii victoria potiti sunt multis hostium captis, multis navibus perditis, et deinde mare tenentes, ad bellum necessaria, quibus antea caruerant, advexerunt. Ipsum quoque Periclem ante prælio navali victum fuisse a Melisso, Aristoteles scribit. Porro Samii ut ignominiam acceptam Atheniensibus reponerent, captivis in frontem incussere noctuam, sicut Athenienses ipsis prius Samænam. Samæna navigii est genus, cujus prora suilli rostri instar curvata est, concava autem magis et ventricosa, ut et oneribus vehendis accommodata sit et celeriter currat : sic dicta quod in Samo primum visa sit, a Polycrate tyranno parata. Eas notas ferunt et Aristophanem per ambages indicasse hoc versu : Quam litteratus populus incolæ Sami.

201.

Samiorum populus ut multilitteratus. Aristophanes in Babyloniis, deridens notis compunctos. Samii enim a tyrannis ad incitas redacti, ob civium penuriam servorum frontibus jus civitatis quinque stateribus venale inscripserunt, ut Aristoteles tradit in Samiorum Republica; vel quia apud Samios XXIV litteræ primum inventæ fuerunt a Callistrato, ut Andron in Tripode... Theopompus. Alii vero, quod Athenienses Samios captivos signo noctuæ notarint, Samii vero Athenienses Samæna. Est autem Samæna navigium bireme, a Polycrate tyranno Samiorum primum fabricatum, ut ait Lysimachus libro secundo Nostorum. Hoc autem commentum est Duridis.

SAMOTHRACUM.

202.

Samothrace olim Leucosia appellabatur, uti narrat

νήσι : Τὰς τελετὰς λέγει τὰς ἐν Σαμοθράκη ἀγομένας... Ἡ δὲ Σαμοθράκη ἐκαλεῖτο πρότερον Λευκωσία, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Σαμοθράκης Πολιτείᾳ: Ὕστερον δὲ ἀπὸ Σάου τοῦ Ἑρμοῦ καὶ Ῥήνης παιδὸς Σάμος προσωνομάσθη κατὰ παρένθεσιν τοῦ μ. Θρᾳκῶν δὲ οἰκησάντων αὐτὴν ἐκλήθη Σαμοθράκη.

Heraclides Excerpt. p. 19, 13 : Σαμοθράκης: Ἡ Σαμοθράκη τὸ μὲν ἐξ ἀρχῆς ἐκαλεῖτο Λευκανία, διὰ τὸ λευκὴ εἶναι· ὕστερον δέ, Θρᾳκῶν κατασχόντων, Θρᾳκία. Τούτων δὲ ἐκλιπόντων ὕστερον ἔτεσιν ἑπτακοσίοις Σάμιοι κατῴκισαν αὐτὴν ἐκπεσόντες τῆς οἰκείας, καὶ Σαμοθράκην ἐκάλεσαν.

Tertiam formam nominis Λευκωσία sive Λευκόσια, ut in Scholiis Apollonii Rhodii legitur, præbent Schol. ad Iliad. ω, 78 (cf. Eustath. ad Iliad. p. 1340, 14) : Σάμου : Τῆς νῦν Σαμοθράκης. Σάμους δὲ τοὺς λόφους ἔλεγον. Ἐκαλεῖτο δὲ Λευκωνία (vitiose pro Λευκωσία,) εἶτα οἰκισθεῖσα ὑπὸ Σαμίων, ὧν τὰ σκάφη οἱ αἰχμάλωτοι Θρᾷκες κατέδυσαν, Σαμοθράκη ὠνόμασται. Eustath. ad Il. l. l. : ὧν τὰ σκάφη αὐτόθι αἰχμάλωτοι Θρῇσσαι κατέκαυσαν, Σ. ὠνόμ. Cf. Schol. Il. v. 12 et Eustath. ad Il. p. 917.

ΣΙΚΥΩΝΙΩΝ.

203 (575).

Pollux IX, 77 : Τὸ μέντοι τῶν ὀβολῶν ὄνομα οἱ μὲν ὅτι πάλαι βουπόροις ὀβελοῖς ἐχρῶντο πρὸς τὰς ἀμοιβάς, ὧν τὸ ὑπὸ τῇ δρακὶ πλῆθος ἐδόκει καλεῖσθαι δραχμή, τὰ δ' ὀνόματα καὶ τοῦ νομίσματος μεταπεσόντος εἰς τὴν νῦν χρείαν ἐνέμεινεν ἐκ τῆς μνήμης τῆς παλαιᾶς· Ἀριστοτέλης δὲ ταὐτὸν λέγων ἐν Σικυωνίων Πολιτείᾳ σμικρόν τι καινοτομεῖ, ὀφελοὺς αὐτοὺς τέως ὠνομάσθαι λέγων, τοῦ μὲν ὀφέλλειν δηλοῦντος τὸ αὔξειν, αὐτῶν δὲ διὰ τὸ εἰς μῆκος ηὐξῆσθαι ὧδε κληθέντων. Ὅθεν καὶ τὸ ὀφείλειν ὠνομάσθαι φησὶν οὐκ οἶδ' ὅπως· ἐπὶ μέντοι τῶν ὀβελῶν ὑπηλλάχθαι τὸ φ εἰς τὸ β κατὰ συγγένειαν.

Plutarch. V. Lysandri c. 17 : Τοῦτο δὲ (τὸ πάτριον τῶν Λακεδαιμονίων νόμισμα scil.) ἦν σιδηροῦν... κινδυνεύει δὲ καὶ τὸ πάμπαν ἀρχαῖον οὕτως ἔχειν, ὀβελίσκοις χρωμένων νομίσμασι σιδηροῖς, ἐνίων δὲ χαλκοῖς· ἀφ' ὧν παραμένει πλῆθος ἔτι καὶ νῦν τῶν κερμάτων ὀβολοὺς καλεῖσθαι, δραχμὴν δὲ τοὺς ἓξ ὀβολούς· τοσούτων γὰρ ἡ χεὶρ περιεδράττετο. Cf. Eustath. ad. Iliad. p. 136, 4, 421, 27. Etymol. M. p. 613, 1. Etymol. Gud. s. v. Ὀβελίσκος.

(ΣΙΝΩΠΕΩΝ.)

204 (576).

Schol. Apollonii Rhod. II, 946 : ἔνθα Σινώπη... Ἐν δὲ τοῖς Ὀρφικοῖς Ἄρεως καὶ Αἰγίνης γενεαλογεῖται (ἡ Σινώπη scil.), κατὰ δέ τινας Ἄρεως καὶ Παρνάσσης· κατ' Εὔμηλον καὶ Ἀριστοτέλη Ἀσωποῦ. Καὶ οὗτος μέν φησιν ὅτι Ἅλυν τε τὸν ποταμὸν ἐπλάνησε καὶ Ἀπόλλωνα καὶ Δία, αἰτησαμένη παρ' αὐτῶν πρότερον ἵν' ἐπιτύχοι οὗ ἂν θέλοι, ἔπειτα εἰποῦσα παρθενίας ὀρέγεσθαι, ταύτης ἐπέτυχεν ὡς ἂν ὅρκῳ δεδεμένων αὐτῶν. Φιλοστέφανος δέ φησι τοὐναντίον Ἀπόλλωνι αὐτὴν μιγεῖσαν ἀποκυῆσαι τὸν προσαγορευθέντα Σύρον. Cf. Diodorus Sic. IV, 72. Plutarch. V. Luculli c. 23.

ΣΥΒΑΡΙΤΩΝ.

205 (577).

Athen. XII, p. 520, C : Εἰς τηλικοῦτον δ' ἦσαν τρυφῆς ἐληλακότες (οἱ Συβαρῖται scil.), ὡς καὶ παρὰ τὰς εὐωχίας τοὺς ἵππους ἐθίσαι πρὸς αὐλὸν ὀρχεῖσθαι. Τοῦτ' οὖν εἰδότες οἱ Κροτωνιᾶται ὅτε αὐτοῖς ἐπολέ-

---

Aristoteles in Samothracum Republica. Postea de Sao Mercurii et Rheneo filio Samos nuncupata est, interposita litera m. Quum vero Thraces eam jam habitarent, vocata est Samothrace.

SICYONIORUM.

203.

Quod nomen obolorum attinet, nonnulli dicunt olim longis obelis (quasi verubus quibus figuntur frusta bubula) usos esse in permutationibus; eorum obolorum multitudinem quanta pugillo (δρακὶ) comprehendi posset δραχμὴν appellatam esse; ista vero nomina etiam tum quum hic nummus in præsentem usum transmutatus esset, ex pristina memoria remansisse. Aristoteles vero eadem dicens in Republica Sicyoniorum, non nihil tamen innovat, dum ὀφελοὺς eos (obolos sive obelos) per tempus aliquod appellatos esse dicit : etenim ὀφέλλειν significare *augere*, ab eoque ὀφελλοὺς dictos esse, quod forma eorum in longitudinem se extendens augeatur; ab ὀφέλλειν etiam τὸ ὀφείλειν verbum derivare, nescio quomodo. Ceterum in voce ὀβελὸς literam φ in cognatam literam β abiisse.

(SINOPENSIUM.)

204.

In Orphicis carminibus Martis et Æginæ filia fuisse Sinope dicitur, apud nonnullos Martis et Parnasses; apud Eumelum et Aristotelem. At hic (*poeta scil.*) quidem narrat eam decepisse et Halyn et Apollinem et Jovem. Petiverat enim ut primum ipsa iis quæ postularet potiretur; postulasse autem dicunt virginitatem, eamque obtinuisse, quum illi juramento obstricti tenerentur. Philostephanus vero contrarium dicit, compressam illam ab Apolline Syrum supra dictum peperisse.

SYBARITARUM.

205.

Sybaritæ eo progressi erant luxuriæ, ut equos etiam

μουν, ὡς καὶ Ἀριστοτέλης ἱστορεῖ διὰ τῆς Πολιτείας αὐτῶν, ἐνέδοσαν τοῖς ἵπποις τὸ ὀρχηστικὸν μέλος· συμπαρῆσαν γὰρ αὐτοῖς καὶ αὐληταὶ ἐν στρατιωτικῇ σκευῇ. Καὶ ἅμα αὐλούντων ἀκούοντες οἱ ἵπποι οὐ μόνον ἐξωρχήσαντο ἀλλὰ καὶ τοὺς ἀναβάτας ἔχοντες ηὐτομόλησαν πρὸς τοὺς Κροτωνιάτας. Τὰ ὅμοια ἱστόρησε καὶ περὶ Καρδιανῶν ὁ Λαμψακηνὸς Χάρων (fr. 9 Müller).

Narrationem quam ex Athenæo Eustathius in Dionysium Perieg. v. 374 tangit pleniorem atque integriorem nescio unde habet Julius Africanus in Cestis c. 14, p. 293 in Mathemat. veter. ed. Paris. 1693 : Εἰς τοῦτό ποτε ἐλάσαι τρυφῆς Συβαρίτας λόγος ὡς παρὰ δεῖπνον εἰς τὸ συμπόσιον αὐτοὺς (scil. ἵππους) εἰσάγειν, τοὺς δ' ἀκούσαντας αὐλήματος ἀνίστασθαι ἐπὶ τὼ πόδε καὶ τοῖς προσθίοις ὥσπερ χειρονομοῦντας ὀρχεῖσθαι. Ὑβρισθέντα δὲ αὐλητὴν εἰς Κροτωνιάτας αὐτομολῆσαι προσφάτως ἱππομαχίᾳ νενικημένους, μέγιστα δὲ ὠφελήσειν τὸ κοινὸν ἐπαγγείλασθαι· παραδώσειν γὰρ πᾶν τὸ Συβαριτικὸν ἱππικὸν αἰχμάλωτον. Πιστεῦσαι τοὺς Κροτωνιάτας αὐτῷ καὶ ἐπιτρέψαι στρατηγεῖν, τὸν δὲ αὐλήσαντα τοῖς τῆς πόλεως αὐληταῖς δεῖξαι τὸ μέλος καὶ ὅτε καιρὸς ἦν παρεγγυῆσαι τὴν ἐπὶ τοὺς πολεμίους ἔξοδον. Ὡς δὲ οἱ Συβαρῖται ἐπῆλθον πανδημεὶ πολύ τι φρυαττόμενοι τῇ τῆς ἵππου περιουσίᾳ καὶ ἀνεμίγησαν αἱ φάλαγγες, ὑπὸ σημεῖον ἐνηύλησαν οἱ πάντες, συνήθους δὲ ἤχου ἀκούσαντες οἱ ἵπποι ὥσπερ οἴκοι ἐδιδάσκετο ἀποσεισάμενοι τοὺς ἀναβάτας ὑπωρχοῦντο πάντες. Τότε οὖν οἱ ἱππόται ἑάλωσαν κείμενοι καὶ οἱ ἵπποι ἐλήφθησαν ὀρχούμενοι, ἀναστησάντων αὐτοὺς συνήθων μελῶν.

206 (578).

Athen. XII, p. 523, C : Καὶ οἱ τὴν Σῖριν δὲ κατοικοῦντες, ἣν πρῶτοι κατέσχον οἱ ἀπὸ Τροίας ἐλθόντες, ὕστερον δ' ὑπὸ Κολοφωνίων, ὥς φησι Τίμαιος καὶ Ἀριστοτέλης, εἰς τρυφὴν ἐξώκειλαν οὐχ ἧσσον Συβαριτῶν. Καὶ γὰρ ἰδίως παρ' αὐτοῖς ἐπεχωρίασε φορεῖν ἀνθινοὺς χιτῶνας, οὓς ἐζώννυντο μίτραις πολυτελέσι· καὶ ἐκαλοῦντο διὰ τοῦτο ὑπὸ τῶν περιοίκων μιτροχίτωνες, ἐπεὶ Ὅμηρος τοὺς ἀζώστους ἀμιτροχίτωνας καλεῖ (Il. π, 419). Sedes fragmenti incerta. De communibus Siritarum et Sybaritarum rebus contra Tarentinos conferri potest Strabo VI, p. 264, 265. Ad Rempublicam Crotoniatarum locum retulerunt Schweighæuserus et Neumannus. Cf. Justin. XX, 2.

ΣΥΡΑΚΟΥΣΙΩΝ.

207 (579).

Pollux VI, 16 : Καί που καὶ (ἐστὶν οἶνος scil.) γλυκὺς Πόλλιος· ἔστι μὲν ἐκ Συρακουσῶν, Πόλλις δ' αὐτὸν ὁ Ἀργεῖος πρῶτος ἐπεσκεύασεν, ἀφ' οὗ καὶ τοὔνομα, ἢ ἀπὸ τοῦ Συρακουσίων βασιλέως Πόλλιδος, ὡς Ἀριστοτέλης λέγει.

Cf. Athenæi Epit. I, p. 31, B : Ἣν (τὴν Βιβλίνην ἄμπελον scil.) Πόλλιν τὸν Ἀργεῖον, ὃς ἐβασίλευσε Συρακουσίων, πρῶτον εἰς Συρακούσας κομίσαι (φασὶν) ἐξ Ἰταλίας· εἴη ἂν οὖν ὁ παρὰ Σικελιώταις γλυκὺς καλούμενος Πόλλιος ὁ Βίβλινος οἶνος. Etym. Magn. p. 197, 32 : Βίβλινος οἶνος : οἷον « ὕδωρ δὲ πίνει, τὸν δὲ Βίβλινον στυγεῖ. » Ἀπὸ Βιβλίνης οὕτω καλουμένης Θρᾳκίας ἀμπέλου, ἥτις διὰ τὸ εὐθαλὴς εἶναι ἐν Ἑλλάδι, μετετέθη καὶ ἐν Σικελίᾳ ὑπὸ Πόλλιδος τοῦ Σικυωνίου (male pro Συρακουσίου) τυράννου· ἔνθεν αὐτήν τινες καὶ Πόλλιον καλοῦσιν. Ælianus Var. Histor. XII, 31 : Καὶ ἐν Συρακούσαις Πόλλιος· ἐκλήθη δὲ ἀπό τινος ἐγχωρίου βασιλέως.

208 (580).

Photius s. v. Καλλικύριοι : Οἱ ἀντὶ τῶν γεωμόρων ἐν Συρακούσαις γενόμενοι, πολλοί τινες τὸ πλῆθος. Δοῦλοι δ' ἦσαν οὗτοι τῶν φυγάδων, ὡς Τίμαιος ἐν ϛ'· ὅθεν τοὺς ὑπερβολῇ πολλοὺς καλλικυρίους ἔλεγον. Ὠνομάσθησαν δὲ ἀπὸ τοῦ εἰς ταὐτὸ συνελθεῖν

---

assuefecerint inter ipsorum epula saltare ad tibiæ cantum. Id igitur quum nossent Crotoniatæ, quo tempore bellum illis inferebant, ut narrat etiam Aristoteles ubi de eorum Republica verba facit, tibicines jusserant modos saltatorios præcinere equis. Aderant enim ipsis tibicines militari cultu. Et simul atque illos canentes audivere equi non modo cœperunt saltare, verum etiam simul cum sessoribus ad Crotoniatas transfugerunt. Similem rem et de Cardianis Charon Lampsacenus narrat.

206.

